Ἐξένιζε: Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει "διαβε-"βλήκασι γάρ μου τὸν πατέρα ὡς ἐξένιζε." μήποτε ἀντὶ τοῦ ξένος ἦν, καὶ οὐχ ὡς Δίδυμός φησιν, ἀντὶ τοῦ οὐκ Ἀττικῶς διελέγετο, ἀλλὰ ξενικῶς.

Ἐξεπρέμνιζον: ἀντὶ τοῦ κατέβαλλον τὰ πρέμνα, τουτέστι μέχρι ῥιζῶν τὰ στελέχη, Δημοσθένης ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρου.

στος ἐν (ἐν om. D.) ις νόμῳ (sic etiam meliores libri Suidæ, non νόμων) μαρτυρεῖ :—

1. ἐναγής. Αἰσχίνης δὲ ἐπί 3. ἄγοι (ἄγει duo codices Suidæ) μέν τινα ἔπειτά] ἄλλος δέ 4. ἐξαιροῖτο] ἐξαίρηται (οι superscr.) D. τὸν ἀντιποιούμενον τῷ ἀνθρώπῳ (τοῦ ἀνθρώπου Suidas) 5. αὐτοῦ (αὐτὸν Suidas) ἐξαιρουμένῳ :— 7. Αἰσχίνης—δέ ἐστι om. 11. ἐξελέσθαι] ἐκτελέσαι (τελέσαι D.), librario ad lin. 9. aberrante: quid vitium servavit Suidas. διὰ τῆς (τῆς om. D.) τῶν ἐγγυητῶν καταστάσεως. οὕτω Δημοσθένης :— 13. Δημοσθένης—μήποτε om. 15. ἦν. Δίδυμος δέ φησιν ἀντὶ τοῦ οὐκ Ἀττικοῖς, ἀλλὰ ξένοις ῥήμασι διελέγετο :— 17. κατέβαλλον] κατέβαλον (λ superscr.) T. κατέβαλον duo codices Suidæ. 18. στελέχη. οὕτω Δημοσθένης :—

1. Αἰσχίνης] p. 69, 28.
3. ἄγοι] ἄγει C.
4. ἐξαιροῖτο] ἄγοιτο A., sed superscripto ἐξαίροιτο, qui accentus est etiam in Ald. et Epitome.
7. Αἰσχίνης] p. 70, 4.
— χρισᾶς ἀσπίδας] χρυσάσπιδας A. Ald.
8. πρὶν ἐξαράσασθαι ex Æschine addidit Hemsterh.
9. δέ ἐστι C. aberat δέ. Hemsterh. scripserat ἔστι δὲ τὸ, omisso ἐξαράσασθαι.
9. ἃς additum ex Epitome.
10. ναῶν] νεῶν ἃς C.N. ναῶν αἳ A. Ald.
11. Δημοσθένης] p. 725.
12. Τιμοκράτους Bekkerus. Libri Ἀριστοκράτους.
13. Δημοσθένης] p. 1304, 6.
17. κατέβαλλον] κατέβαλον A.
— πρέμνα] πράγματα B.C.G.
18. ῥιζῶν :— C.
— περὶ τοῦ (τοῦ additum ex B.)

Ἐξετάζεσθαι: ἀντὶ τοῦ ὁρᾶσθαι Δημοσθένης κατὰ Στεφάνου. καὶ ἐν τῷ κατ' Ἀνδροτίωνος "ἐξητάσθης" φησὶν ἀντὶ τοῦ ὤφθης, ἑωράθης.

Ἐξηγητής: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου. ὁ ἐξηγούμενος τὰ ἱερά. ἔστι δὲ καὶ ἃ πρὸς τοὺς κατοιχομένους νομιζόμενα ἐξηγοῦντο τοῖς δεομένοις. καὶ Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου δηλοῖ, πληθυντικῶς τοὺς ἐξηγητὰς πολλάκις ὀνομάζων.

Ἐξήκεστος: ὄνομα κύριον· Δημοσθένης κατ' Ἀριστοκράτους.

Ἐξορχησάμενος: ἀντὶ τοῦ φυγὼν καὶ ἀποδράς Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος προσπαίζων ἅμα εἶπε διὰ τὴν τῶν Διονυσίων πομπήν.

Ἐξούλης: ὄνομα δίκης ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων. εἴρηται μὲν οὖν τοὔνομα ἀπὸ τοῦ ἐξίλλειν, ὅ ἐστιν ἐξωθεῖν καὶ ἐκβάλλειν, δικάζονται δὲ ἐξούλης κἀπὶ τοῖς ἐπιτιμίοις οἱ μὴ ἀπολαμβάνοντες ἐν τῇ προσηκούσῃ προθεσμίᾳ, ὑπερημέρων γιγνομένων τῶν καταδικασθέντων. οἱ δὲ ἁλόντες ἐξούλης καὶ τῷ ἑλόντι ἐδίδοσαν ἃ ἀφῃροῦντο αὐτὸν, καὶ τῷ δημοσίῳ κατε-

1.—3. ἘΞΗΤΆΣΘΗΣ. *Δημοσθένης ἐν τῷ κ. Στ. καὶ κατὰ Ἀνδρ. ἀντὶ τοῦ ὤφθης, ὡράθης*:— 4. ἘΞΗΓΗΤΉΣ. *ἰδίως ὁ ἐξηγούμενος τὰ ἱερά. ἔστιν δὲ καὶ ἃ πρὸς τοὺς κατοιχομένους ὀνομαζόμενα—δεομένοις*:— 8. *κύριον*:— 10. *Ἀνδροτίωνος*:— 12. *ἣν*] *ἣν ἣν* D. 14. *ὅπερ ἔστιν ἐξείργειν καὶ ἐξωθεῖν καὶ ἐκβάλλειν* 16. *γινομένων* (*γενομένων* D.) 16. *οἱ δὲ ἁλόντες ἐξούλης*] *οἱ μὲν τῇ ἐξούλης ἁλόντες* 17. *αὐτὸν*] *αὐτοῦ*, quod om. D.

Ἁγνίου (*ἁγνοῦ* A.B.) *κλήρου*] Id est in oratione contra Macartatum p. 1073, 27.

1. *κατὰ Στεφάνου*] p. 1121, 24.

2. *κατ' Ἀνδροτίωνος*] p. 613 extr.

— *ἑωράθης* N. Ceteri *ὡράθης*.

4. *περὶ τοῦ Κίρωνος* Valesius. *περὶ τοῦ σκίρωνος* A. Ald. *πρὸς τοῦ σκίρωνος* B. *πρὸς σκύρωνος* C.

— *κλήρου*] *κλῆρον* C.

— *ὁ*] *καὶ* B.C.G.

5. *ἔστι δὲ* (*δὲ* om. B.) *καὶ ἃ*] *ἔτι δὲ καὶ τὰ* Hemsterh. *ἔστι δὲ οὖ καὶ τὰ* Kuhn. ad Polluc. 3, 102. *ὅτι δὲ καὶ τὰ* Bekkerus sublata interpunctione post *δεομένοις*.

— *τοὺς* om. N.

— *κατοιχομένους*] *κατοιχουμένους* B. Ald. *κατηχουμένους* A.

5. *νομιζόμενα* Valesius. Libri *ὀνομαζόμενα*.

6. *ἐξηγοῦντο*] *ἐξηγοῦνται* N.

— *καὶ*] Malim *ὡς*, nisi Bekkerus supra recte correxerit *ὅτι δὲ καὶ τά*—.

— *Δημοσθένης*] p. 1160.

8. om. C.

— *Δημοσθένης*] p. 666 extr.

9. *Δημοσθένης*] p. 614, 23.

13. *οὖν* om. G.

14. *ἐξίλλειν*] *ἐξέλλειν* B. Ald. *ἐξέλειν* C.G.

— *ἐκβάλλειν*:— C.

15. *ἐν*] *ἐπὶ* B.

— *προσηκούσῃ*] *προσελθούσῃ* N.

16. *γινομένων*] *γενομένων* B.

17. *ἑλόντι*] *φήναντι* N.

τίθεσαν τὰ τιμηθέντα. ἐδικάζετο δὲ ἐξούλης καὶ ὁ χρήστης κατέχειν ἐπιχειρῶν κτῆμα τοῦ χρεωστοῦντος καὶ κωλυόμενος ὑπό τινος. καὶ ἐπεργασίας δέ τις εἰ εἴργοιτο, δίδωσιν ὁ νόμος δικάζεσθαι πρὸς τὸν εἴργοντα ἐξούλης. καὶ περὶ ἀνδραπόδου δὲ καὶ παντὸς οὗ φησί τις αὐτῷ μετεῖναι. ταῦτα δὲ σαφῶς Ἰσαῖος διδάσκει καὶ Λυσίας ἐν τῷ κατὰ Στρατοκλέους ἐξούλης. Δείναρχος μέντοι ἐν τῇ Κροκωνιδῶν διαδικασίᾳ ἰδίως κέχρηται τῷ τῆς ἐξούλης ὀνόματι ἐπὶ τῆς ἱερείας τῆς μὴ βουλομένης τὰ ἴδια δρᾶν. ὅτι δὲ ἐπὶ παντὸς τοῦ ἐκ τῶν ἰδίων ἐκβαλλομένου τάττεται τοὔνομα, καὶ οὐχ ὡς οἴεται Καικίλιος μόνων τῶν ἐκ καταδίκης ὀφειλόντων, καὶ Φρύνιχος ἐν Ποαστρίαις δῆλον ποιεῖ.

Ἐξωμοσία: τὸ μεθ' ὅρκου πρᾶξίν τινα ἀπαρνήσασθαι διὰ νόσον ἤ τινα ἑτέραν πρόφασιν, ὡς δῆλον ποιεῖ Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας.

Ἐπαγγελία: σημαίνει μὲν καὶ ἄλλα, ἰδίως δὲ λέγεται ἐπὶ τῶν ἐγκαλούντων τινὶ δημηγορεῖν καὶ πολιτεύεσθαι οὐκ ἐξὸν, καὶ ἔστιν οἷον παραγγελία· Αἰσχίνης κατὰ Τιμάρχου. λέγεται δὲ παρ' αὐτοῖς τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τοῦ προστάττειν ἢ αἰτεῖσθαι, ὡς παρά

2. ὑπό τινος] ὑπό τινων Coisl. 3. ἐπεργασίας δέ τις εἰ] ἀπεργασίας δὲ εἴ τις Coisl. ἀπεργασίας etiam Suidas: unde ἀπ' ἐργασίας Hudtwalk. in libro de diætetis p. 138. δὲ εἴ τις deteriores libri Suidæ. 4. εἴργοντα] ἐξείργοντα Coisl. οὗ] οὕτω D. 5. ταῦτα—Στρατοκλέους ἐξούλης om. 6. Δείναρχος δὲ ἰδίως κέχρηται 8. δρᾶν:— 12.—14. ἘΞΟΜΟΣΙ'Α τὸ μεθ' ὅρκου ἀ. πρᾶξίν τινα διὰ νόσον ἢ π. ἑτέραν τινὰ ἐξομόσασθαι ἐστίν. οὕτω Δ.:— 15. ἘΠΑΓΓΕΛΙ'Α καὶ ἐπαγγεῖλαι σημαίνει—ἰδίως δὲ ἐπὶ—παραγγελία· λέγουσι δὲ τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ (λέγουσι δὲ καὶ ἐπαγγέλλεσθαι ἀντὶ D.)—ὡς Ἀντιφῶν, ἀλλὰ καὶ Δ. ἐν τῷ παραπρεσβείας (περὶ πρεσβείας, superscripto παρα, D.):—

1. ἐδικάζετο δὲ — αὐτῷ μετεῖναι addidi ex Epitome. Eadem sunt in Lexico codicis Coisliniani 177., omissis tamen postremis verbis καὶ περὶ—μετεῖναι.

5. Ἰσαῖος] Duæ orationes Isæi commemorantur, de quibus cogitare possis, πρὸς Ἁγνόθεον ἐξούλης et πρὸς Δωρόθεον ἐξούλης, ut monet Saupp. Fragm. p. 203.

— διδάσκει ante Ἰσαῖος A.

6. τῇ Κ.,] τῷ κ. A. B. Ald.

— Κροκωνιδῶν] κροκονιδῶν A. Ald.

7. ἰδίως] ἡδέως A.B.P.Q.

9. ἐκβαλλομένου] ἐκλαμβανομένου B.

10. μόνων Valesius. μόνος libri, nisi quod μόνως N.

12. ἤ] ἣν B., om. A. Ald.

13. τινα ante ἤ habet N.

— ὡς om. B.C.

— Δημοσθένης] p. 379, 11.

14. πρεσβείας] παραπρεσβείας Ald.

17. Αἰσχίνης] p. 9, 35.

18. καὶ om. B.C.

— αἰτεῖσθαι] αἰτιᾶσθαι B.G. αἰτιασθῆναι C.

τε ἈΑντιφῶντι ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ Δημοσθένει ἐν τῷ περὶ πρεσβείας.

Ἐπακτὸς ὅρκος: ὃν αὐτός τις ἑκὼν αὐτῷ ἐπάγεται, τουτέστιν αἱρεῖται· ἄλλοι δὲ τοὐναντίον ὁ ἀλλαχόθεν ἐπιφερόμενος, ἀλλ' οὐκ αὐθαίρετος. Λυσίας ἐν τῷ πρὸς Χαιρέστρατον καὶ Ἰσοκράτης Ἀπολλωνιάτης ἐν ταῖς πρὸς Δημόνικον παραινέσεσιν. ἔστι δὲ ὅρκου τρία εἴδη, ἀπώμοτος καὶ κατώμοτος καὶ ὁ καλούμενος ἐπακτός. εἶναι δὲ τοῦτον οὐχ ἁπλοῦν· δεῖν γὰρ τὸν προτεινόμενον ὑπὸ τοῦ ὁρκίζοντος αὐτοῖς ὀνόμασιν ἀντιφωνεῖν τὸν ὁρκιζόμενον.

Ἐπακτροκέλης: Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. εἶδος δ' ἐστὶ πλοίου σύνθετον ἔχον τὴν κατασκευὴν ἔκ τε ἐπακτρίδος καὶ κέλητος. ἦν δὲ ὡς ἐπίπαν λῃστρικὸν, ὡς καὶ Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου δοκιμασίᾳ.

Ἐπαλλάξεις: ἀντὶ τοῦ συναλλαγὰς ἢ μίξεις Ἀντιφῶν Ἀληθείας α'.

Ἐπαναφορά: τὸ ἀναφέρειν καὶ ἀνακοινοῦσθαι τῷ πλήθει.

Ἐπαιρόμενος: ἀντὶ τοῦ ἐπανατεινόμενος Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐν δὲ τῷ πρὸς Ἄφοβον ἐπ' ἄλλου σημαινομένου φη-

3. ὃν ἄν τις αὐτὸς ἑκὼν ἑαυτῷ ἐπαγάγηται (ἐπάγηται D. et Suidas)—αἱρεῖται. ἄλλοι δὲ τοὐναντίον ὁ ἀλλαχόθεν ἐπιφερόμενος, ἀλλ' οὐκ αὐθαίρετος. ἔστιν δὲ ὅρκου τρία εἴδη, ἀπόμοτος, κατόμοτος (recte hæc per ω scripta ap. Suidam), ἐπακτός:— 10. ἘΠΑΚΤΡΟΚΕΛΗΣ. εἶδός ἐστι 11. ἐξ ἐπακτρίδος—λῃστρικόν:— Aliam glossam substituit Suidas. 14. Ἀντιφῶν:— 16. ἀναφέρειν] ἐπαναφέρειν D. 17. ἘΠΑΙΡΟΜΕΝΟΣ. Δ. ἐν μὲν τῷ κατὰ Κτ. ἀντὶ τοῦ ἐ., ἀλλαχοῦ δέ:— Nihilo integriora hæc suo in libro reperit Suidas. Videtur Epitomator scripsisse ἀλλαχοῦ δὲ ἐπ' ἄλλου σημαινομένου.

1. τε] τε τῷ B.
— Δημοσθένει] p. 354, 11. 401, 17. 21.
2. περὶ πρεσβείας] παραπρεσβείας Epitome. περὶ τῆς παραπρεσβείας. Ald.
3. τουτέστιν] ἀντὶ τοῦ C.
4. ἄλλοι δὲ — αὐθαίρετος addidi ex Epitome. Hoc sensu ἐπακτὸν ὅρκον dixit Isocrates, cujus locus est p. 6 c.
7. εἶναι] Verbum ad quod εἶναι referri possit desiderabat Stephanus.
8. δεῖν P. Legebatur δεῖ.
10. Αἰσχίνης] p. 27. 9.
11. σύνθετον ἔχον τὴν] συνθέτου τὴν B.C.
14 ἘΠΑΛΛΑΞΕΙΣ] Conf. Wessel. ad Herodot. 1, 74. Brandis Hist. philos. vol. 1. p. 319. ab Sauppio cit. Fragm. p. 148.
17. ἐν τῷ—ἐπαιρομένους om. C.
— ὑπὲρ Κτησιφῶντος] p. 302, 13.
18. ἐν δὲ τῷ πρὸς Ἄφοβον (p. 851, 13.) Valesius. ἐν δὲ τῷ προ ante lacunam A.B. Ald. ἐν δὲ τῷ ἑτέρῳ G. ἐν δὲ τῶ ἔτρω O. ἑτέρωθι δὲ N.

σὶν "ἢ κέρδεσιν δι' ἀπορίαν ἐπαιρομένους." [Ἀριστοφάνης Νεφέλαις

εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα.]

Ἐπεδίκασε καὶ ἐπεδικάσαντο: Δημοσθένης ἐν τῷ κατ' Ὀλυμπιοδώρου. τὸ μὲν ἐπεδίκασέν ἐστιν οἷον προσέκρινε, τὸ δὲ ἐπεδικάσαντο οἷον ἔπεισαν τοὺς δικαστὰς ἑαυτοῖς προσνεῖμαι τὸν κλῆρον.

Ἐπενεγκεῖν δόρυ ἐπὶ τῇ ἐκφορᾷ καὶ προαγορεύειν ἐπὶ τῷ μνήματι: Δημοσθένης κατ' Εὐέργου καὶ Μνησιβούλου ταῦτά φησιν ἐπὶ τοῦ βιαίως ἀποθανόντος. Ἴστρος δ' ἐν τῇ συναγωγῇ τῶν Ἀτθίδων περὶ Προκρίδος καὶ Κεφάλου εἰπὼν γράφει ταυτί· "τινὲς δὲ ἐπὶ τοῦ "τάφου δόρυ καταπεπηχότα τὸν Ἐρεχθέα φασὶ πεποιῆσθαι παρα"καθήμενόν τε καὶ τὸ πάθος σημαίνοντα, διὰ τὸ νόμιμον εἶναι τοῖς "προσήκουσι τοῦτον τὸν τρόπον μετέρχεσθαι τοὺς φονέας."

Ἐπεσκήψατο: ἀντὶ τοῦ ἐνεκάλεσε ψευδομαρτυριῶν. λέγεται δὲ ἐνίοτε κατὰ τὸ σπάνιον καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου, ὡς Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. τῷ δὲ ἐνεργητικῷ τῷ ἐπέσκηψεν ἀντὶ τοῦ ἐνετείλατο Ἰσαῖος ἐν τῇ ὑπὲρ Εὐμάθους εἰς ἐλευθερίαν ἀφαιρέσει. τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω καὶ

5. 'ΕΠΕΔΙΚΑ'ΣΑΤΟ hic et mox iterum. 6. ἐστιν om. 7. ἔπεισαν] ἔπεισεν D. 9. Δημοσθένης—φησιν om. 10. ἀποθανόντος ταῦτα πράττεται. καὶ Ἴστρος ἐν τῇ συναγωγῇ τῶν Ἀτθίδων φησί, τινὲς ἐπὶ—δόρυ φασὶ καταπεπηχέναι τὸν Ἐ. τὸ πάθος—διὰ τὸ νόμον 15. λέγεται—σπάνιον] σπανιάκις δὲ (πολλάκις δὲ Z.) 16. Ἀντιφῶν. τὸ δὲ ἐνεργητικὸν τὸ ἐπέσκηψεν 18. Ἰσαῖος—ἀφαιρέσει om. 19. τὸ δὲ ἐνσκήπτω

1. ἢ om. B.
— κέρδεσιν δι'] κερδαίνειν τοὺς δι' A. κερδέειν, δι' Ald. κερδέειν ἄρτι δι' B. κερδαίνειν ἄρτι δι' N.
— ἀπορίαν] ἀπειρίαν A.B.N. Ald.
— Ἀριστοφάνης] καὶ ἀριστοφάνης C. ἀριστοφάνης ἐν A.B. Ald. Seclusi verba haud dubie ab interpolatore addita.
— Νεφέλαις] v. 41.
3. εἴθ' Ald.: codices αἴθ'.
4. με γῆμ' ἐπῆρε] μ' ἐπῆρε γῆμαι C.
5. Δημοσθένης] p. 1174, 17.
6. προσέκρινε ex Epitome correctum pro προέκρινε.
8. τῇ ἐκφορᾷ—τῷ μνήματι ex Epitome et Demosthene p. 1160, 14. restitui pro τῆς ἐκφορᾶς—τῶν μνημάτων, quod est in A.B.C.G., vel τῆς. ἐκφορᾶς—τῷ μνήματι, quod est in Ald.
10. ἐπὶ τοῦ om. A.B.C.N.
12. φασὶ πεποιῆσθαι] φασὶ περιποιεῖσθαι A. φασί. πεποιῆσθαι δὲ Ald. πεποιῆσθαι φασὶ B.
— παρακαθήμενον Valesius pro παρακαταθέμενον.
14. φονέας] φόνους N.
18. Ἰσαῖος addidit Maussacus.
— τῇ] τῷ A.B. Ald.
—Εὐμάθους Bekkeri editio. Priores Εὐμαθοῦς.
19. καὶ additum ex Epitome.

οἷον ἐξορκίζω· Ἀνδοκίδης τε ἐν τῷ περὶ τῶν μυστηρίων καὶ Λυσίας ἐν τῷ ὑπὲρ Κτησιάρχου εἰρήκασιν.

Ἐπιβάτης: Δημοσθένης ἐν τῷ περὶ τοῦ ἐπιτριηραρχήματος. οὕτως ἐκάλουν τῶν ἐν ταῖς τριήρεσι στρατευομένων τοὺς μὴ κωπηλατοῦντας, ἀλλὰ μόνον πρὸς τὸ μάχεσθαι ἐπιτηδείους. Ἀριστοφάνης Βαβυλωνίοις

εὖ γ' ἐξεκολύμβησ' οὑπιβάτης ὡς ἐξοίσων ἐπίγυιον.

Ἐπιβλῆτας: Λυσίας ἐν τῷ κατὰ Μικίνου φόνου, εἰ γνήσιος. ἐπιβλής ἐστιν, ὡς μὲν Τιμαχίδας φησὶ, δοκὸς, ὡς δέ φησι Κλείταρχος ὁ γλωσσογράφος, ποιά τις δοκός.

Ἐπίβοιον: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. Φιλόχορος δ' ἐν β' φησὶν οὕτως· "ἐὰν δέ τις τῇ Ἀθηνᾷ θύῃ βοῦν, ἀναγκαῖόν ἐστι καὶ "τῇ Πανδώρᾳ θύειν ὄϊν, καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον." ὁμοίως καὶ Στάφυλος ἐν α' τῶν περὶ Ἀθηνῶν.

1. Ἀνδοκίδης καὶ Λυσίας ἔλαβεν :— 3. Δ.—ἐπιτριηραρχήματος om., habet D., in quo Δ. ἐν τῷ περὶ τριηραρχήματος. 4. τοὺς ἐν ταῖς τριήρεσι στρατευομένους καὶ μὴ κωπηλατοῦντας μὲν, ἐπιτηδείους δὲ πρὸς τὸ μάχεσθαι :— 7. ἘΠΙΒΛΗ'Σ. οἱ μέν φασιν ὅτι δοκός ἐστιν, οἱ δὲ ποιός τις δοκός :— 11. ἘΠΙ'ΒΟΙΟΝ. ὅταν τις τῇ Ἀθηνᾷ ἔθυεν βοῦν, ἔθυεν καὶ τῇ Πανδώρᾳ (πανδόρᾳ E.T.D.) ὄϊν (sic D., οἷον E.T.) μετὰ βοός. καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον :—

1. Ἀνδοκίδης] p. 5, 22.
3. Δημοσθένης] p. 1209, 11.
— τοῦ om. B.C.
— ἐπιτριηραρχήματος Gronovii editio. Codices, ut videtur, omnes τριηραρχήματος, quod enotatum ex A.B.C. et habet Ald.
5. Ἀριστοφάνης] Fragm. 51.
7. ἐξεκολύμβησ' οὑπιβάτης Porsonus. Libri ἐξεκολύμβησεν ἐπιβάτης.
— ὡς] ὢν Ald.
— ἐπίγυιον] ἐπίγυον A. ἐπέγνων Ald., alii ἐπίγειον, quod diserte enotatum ex G. Prætuli ἐπίγυιον, quæ est antiquior forma inscriptionum, in quibus ἐπίγυα scriptum est, auctoritate munita, de qua dixit Boeckh. Œcon. vol. 3. p. 162. eandemque restitui infra s. v. ἐπίγυιον, ubi etiam literarum serie commendatur.
8. Μικίνου Sauppius Fragm. p. 197. 200. Libri Νικίου.
10. ποιά τις δοκός] In Epitome ποιός τις δοκός. Recte Bernhard. ad Suidam vol. 2. p. 389. judicat legitimam vocem intercidisse, cujus in locum successerit δοκός ex superioribus verbis repetitum. Alii grammatici ἐπιβλής explicant per δοκός vel μοχλός.
11. δ' om. A.B. Ald.
12. β'] δευτέρα C. δευτέρῳ Ald.
13. πανδώρᾳ A. Ald. et Epitome. πανδρόσῳ B.C.P.Q. quod ex conjectura restituerat Meursius Lect. Att. 3, 22. de qua dubitat Hermann. Antiq. sacr. § 61, 8. p. 321.
— ὄϊν C. ὄϊν μετὰ βοὸς A.B.P.Q. Ald. μετὰ βοὸς ὄϊν N.
14. ἐν α'] ἐν πρώτῃ Ald. ἐνὰ B. θ' C. ἐν ἐννάτῃ G.
— τῶν om. B.C.
— Ἀθηνῶν] ἀθηνᾶς B.C.P.Q.

Ἐπιβολή: ἡ ζημία. πολὺ τοὔνομα παρ' αὐτοῖς, ὡς καὶ παρὰ Λυσίᾳ ἐν τῷ κατὰ Νικομάχου, εἰ γνήσιος ὁ λόγος.

Ἐπιγνώμονας: ἀντὶ τοῦ ἐπισκόπους Λυσίας ἐν τῷ περὶ τοῦ σηκοῦ.

Ἐπιγραφέας: τοὺς καθεστηκότας ἐπὶ τῷ γράφειν ὁπόσον ὀφείλουσιν εἰσφέρειν εἰς τὸ δημόσιον· Λυσίας ἐν τῷ περὶ τῆς εἰσφορᾶς.

Ἐπίγυιον: Λυσίας ἐν τῷ πρὸς Ἀνδοκίδην ἀποστασίου, εἰ γνήσιος. τὰ πρυμνήσια ἐπίγυια ἔλεγον. κέχρηνται τῷ ὀνόματι καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί· Ἀριστοφάνης Ὁλκάσιν.

Ἐπιδέκατον: τὸ δέκατον Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου. καὶ ἐπίπεμπτον εἰώθασι λέγειν τὸ πέμπτον, ὡς καὶ Εὔπολις Αὐτολύκῳ.

Ἐπὶ Δελφινίῳ: δικαστήριόν ἐστιν οὕτω καλούμενον Ἀθήνησι. δικάζονται δὲ ἐνταῦθα οἱ ὁμολογοῦντες μὲν ἀπεκτονέναι, δικαίως δὲ πεποιηκέναι τοῦτο λέγοντες, ὡς Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους δηλοῖ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Ἐπιδιατίθεσθαι: Λυσίας ἐν τῷ πρὸς Θεοπείθη ἐπιτροπῆς ἐπι-

1. 2. ἘΠΙΒΟΛΗ'. *παρὰ τοῖς ῥήτορσιν ἡ ζημία*:— 3. ἘΠΙΓΝΩ'ΜΟΝΑΣ —*ἐπισκόπους καὶ ἐπιγραφέας τοὺς κ. ἐπὶ τοῦ γράφειν ἑκάστῳ ὅσον εἰσφέρειν ὀφείλουσιν εἰς τὸ δ.*:— 7. ἘΠΙ'ΓΝΟΟΝ (*ἐπίγυον* D. et Suidas) *τὰ πρυμνήσια* (*πρυμνίσια* T.) *ἐπίγυα ἔλεγον*:— 10. ἘΠΙΔΕ'ΚΑΤΟΝ. *τὸ δέκατον καὶ ἐπίπεμπτον τὸ ε̄ λέγειν εἰώθασι*:— 12. ἘΠΙ' ΔΕΛΦΙΝΙ'ΩΙ. *δικαστήριον Ἀθήνησιν ἐπὶ τῶν ὁμολογούντων μὲν δεδρακέναι φόνους, κατὰ νόμους δέ*:— 16. ἘΠΙΔΙΑΤΙ'ΘΕΣΘΑΙ—*ἐπιλόγῳ* om.

1. *παρ' αὐτοῖς* A. B. C. G. *παρὰ τοῖς ῥήτορσιν* Ald. Sic *παρ' αὐτοῖς* s. v. *ὀρρωδεῖν* et alibi.

— *καὶ παρὰ Λυσίᾳ*] *καὶ λυσίας* C. Est p. 183, 18.

2. *Νικομάχου* Hemsterh. ad Polluc. 8, 21. Legebatur *Νικομαχίδου*.

3. *ἀντὶ τοῦ* om. C.

— *Λυσίας*] p. 110, 28.

— *τοῦ* om. B.C.

5. ἘΠΙΓΡΑΦΕ'ΑΣ] Hæc Maussacus sic interpolavit, *ἐπιγραφεῖς οἱ τὰ δημόσια ἐπιγράφοντες. ὁπότε δεήσειεν ἀργύριον εἰσφέρειν εἰς τὸ δημόσιον τοὺς ἀστοὺς ἢ τοὺς μετοίκους, οἱ ταῦτα διαγράφοντες ἐπιγραφεῖς ἐκαλοῦντο. ἐπιγραφέας ἤτοι*— ex codice Morelli. Verba *ἐπιγραφεῖς. ὁπότε — ἐκαλοῦντο* ex Suida sunt repetita.

5. *τοὺς κ.*] *ἀντὶ τοῦ τοὺς κ.* C.

— *τῷ* ex Zonara p. 791. Libri *τοῦ*.

— *γράφειν*] *ἐπιγράφειν* N.

7. ἘΠΙ'ΓΥΙΟΝ] *ἐπίγυον* A. Ald. *ἀπόγυιον* N. Ceteri *ἐπίγειον*. Vide quæ s. v. *ἐπιβάτης* diximus.

8. *ἐπίγυια*] *ἐπίγυα* A. Ald. Ceteri *ἐπίγεια*.

9. *Ἀριστοφάνης* (Fragm. 371.)] Malim *ὡς Ἀριστοφάνης*, etsi *ὡς* hic facilius abesse patiar quam s. v. *διεκωδώνισε* ante *Εὐριπίδης*.

— *Ὁλκάσιν*] *ἐν ὁλκάσιν* A.

12. *ἐστιν* om. B.C.

14. *Δημοσθένης*] p. 645, 15.

16. *ἐπιλόγῳ*] *λόγῳ* B.G. *λέγω* C.

λόγῳ. ἐπιδιατίθεσθαί ἐστι τὸ συνθήκας τινὰς ποιεῖσθαι κατατιθεμένους τι ῥητὸν ἀργύριον παρά τινι τῶν μεταξὺ γινομένων, ὅσπερ ἐγγυᾶται ἑκατέρῳ ὥστε, εἰ ἡ πρᾶξις γένοιτο, θατέρῳ πάντως τὸ ὡμολογημένον ἀργύριον ἀποδοῦναι. τὸ δὲ πρᾶγμα αὐτὸ λέγεται ἐπιδιαθήκη, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τῷ ὑπὲρ Νησοκλέους δηλοῖ.

Ἐπὶ Δηλίῳ μάχη: Λυκοῦργος ἐν τῷ κατὰ Λυσικλέους. Δήλιον χωρίον ἐστὶ τῆς Βοιωτίας· ἐνταῦθα Ἀθηναῖοι μαχόμενοι ἐνικήθησαν ὑπὸ Βοιωτῶν, καθά φησι Θουκυδίδης ἐν δ'.

Ἐπιδιετὲς ἡβῆσαι: Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. Δίδυμός φησιν ἀντὶ τοῦ ἐὰν ις' ἐτῶν γένωνται· τὸ γὰρ ἡβῆσαι μέχρι ιδ' ἐστιν. ἀλλ' οἱ ἔφηβοι παρ' Ἀθηναίοις ὀκτωκαιδεκαετεῖς γίνονται, καὶ μένουσιν ἐν τοῖς ἐφήβοις ἔτη β', ἔπειτα τῷ ληξιαρχικῷ ἐγγράφονται γραμματείῳ, καθά φησιν Ὑπερείδης ἐν τῷ πρὸς Χάρητα ἐπιτροπικῷ· "ἐπεὶ δὲ ἐνεγράφην ἐγὼ καὶ ὁ νόμος ἀπέδωκε τὴν κομιδὴν "τῶν καταλειφθέντων τῇ μητρί, ὃς κελεύει κυρίους εἶναι τῆς ἐπι"κλήρου καὶ τῆς οὐσίας ἁπάσης τοὺς παῖδας, ἐπειδὰν ἐπιδιετὲς "ἡβῶσιν."

Ἐπίδικος καὶ ἐπίκληρος καὶ ἐπίπροικος καὶ ἐπικληρῖτις:

1. ἐστι om. τινὰς] ποιάς τινας D. solus. 2. ῥητόν τι ὅσπερ] ὅπερ (sic etiam Suidæ codex unus et ed. Mediol. cum Zonara p. 837.) 3. ἑκατέρῳ om. γένοιτο] γίνοιτο (sic etiam Suidæ liber optimus et Zonaras.) 4. ἀποδοῦναι :— 6. Λυκοῦργος—Δήλιον om. 8. Βοιωτίας τὸ Δήλιον, ἐν ᾧ μαχόμενοι Ἀθηναῖοι ὑπὸ Βοιωτῶν ἐνικήθησαν :— 9. ἘΠΙΔΙΈΤΕΣ (ἐπιδιετὲς Suidas) ἩΒΉΣΑΙ. ἀντὶ τοῦ ἑκκαίδεκα ἐτῶν γεγονέναι. τὸ γὰρ 11. ιδ'] τοῦ ιδ D. ἀλλ' οἱ] ἀλλὰ D. ὀκτωκαιδεκαετεῖς γινόμενοι ἐλέγοντο καὶ ἔμενον μὲν ἐν τοῖς ἐφήβοις ἔτη β, ἔπειτα εἰς τὸ ληξιαρχικὸν ἐγράφοντο γραμματεῖον :— 18. ἘΠΙΚΛΗΡΓΤΙΣ] ἐπικληρίτης hic et infra.

2. γινομένων ex Epitome pro γενομένων. Præsenti utitur etiam s. v. μεσεγγύημα.
— ὅσπερ] ὥσπερ C.
3. γένοιτο om. C.G.
5. ὁ om. C., post αὐτὸς habet B.
— τῷ] τῇ A., om. B.
— Νησοκλέους] νισοκλέους C.
6. Λυσικλέους] νισικλέους C.
7. ἐστὶ] ἐπὶ B.C.
8. φησί om. C.
— ἐν δ'] Libri ἐν α' vel ἐν πρώτῃ, quod est in Ald. Est 4, 90.
9. Δημοσθένης] p. 1135, 4.
10. ις'] ια' C. ἑκκαίδεκα Ald.
— γένωνται] γενόμενοι A. Ald.
11. ιδ'] τεσσαρεσκαίδεκα Ald. δεκατεσσάρων in Lexico cod. Coisl. 177.
— ἀλλ' οἱ] ἄλλοι B.C.
— παρ' Ἀ. ὀ.] ἐν ἀθηναίοις ὀκτωκαιδεκέτεις N.
14. ἀπέδωκε] ἀποδέδωκε Ald.
16. παῖδας Valesius. Libri ἄπαιδας, pro quo πρώτους παῖδας margo N.
17. ἘΠΙΚΛΗΡΓΤΙΣ] ἐπικληρίτης B.N.

ἐπίκληρος μέν ἐστιν ἡ ἐπὶ παντὶ τῷ κλήρῳ ὀρφανὴ καταλελειμμένη, μὴ ὄντος αὐτῇ ἀδελφοῦ (ἡ δὲ αὐτὴ καὶ ἐπικληρῖτις)· ἐπίπροικος δὲ ἡ ἐπὶ μέρει τινὶ τοῦ κλήρου ὥστε προῖκα ἔχειν, ἀδελφῶν αὐτῇ ὄντων· ἐπίδικος δὲ ἡ ἀμφισβητουμένη ἐπίκληρος ὅτῳ χρὴ αὐτὴν γαμηθῆναι. ταῦτα δὲ δηλοῦσιν Ἰσαῖος ἐν τῷ πρὸς Σάτυρον ὑπὲρ ἐπικλήρου καὶ Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ "διαμαρτυρία περὶ τοῦ μὴ ἐπίδικον "εἶναι τὴν Ἀριστοφῶντος θυγατέρα·" ἐν δὲ τούτῳ τῷ λόγῳ δείκνυται καὶ ὅτι τὰς ἀπορουμένας κόρας ἐξεδίδοσαν οἱ ἄγχιστα γένους πέντε μνᾶς ἐπιδιδόντες. ὁ δὲ Ἰσαῖος ἐν τῷ πρὸς Λυσίβιον τὴν ἐπίκληρον ἐπικληρῖτιν κέκληκεν.

Ἐπὶ Θρασύλλῳ: *Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ φησὶ "τὸ ἐπὶ Θρασύλλῳ." Ἀττικὸν ἔθος ἀντὶ τοῦ ἐπὶ τῷ Θρασύλλου μνήματι.*

Ἐπιθέτους ἑορτάς: *Ἰσοκράτης Ἀρεοπαγιτικῷ. τὰς μὴ πατρίους, ἄλλως δ' ἐπιψηφισθείσας, ἐπιθέτους ἐκάλουν. ἐλέγετο δὲ παρ' αὐτοῖς καὶ ἄλλα ἐπίθετά τινα, ὁπόσα μὴ πάτρια ὄντα ἡ ἐξ Ἀρείου πάγου βουλὴ ἐδίκαζεν, ὡς σαφὲς ποιεῖ Λυσίας ἐν τῷ πρὸς τὴν Μιξιδήμου γραφήν. ἐπιθέτους δὲ ἐπιστολὰς Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου τινὰς ὀνομάζει, λέγοι δ' ἂν τὰς δοθείσας τισὶν ὥστε διακομίσαι· λέγειν γὰρ ἦν εἰθισμένον "ἐπέθηκεν ἐπιστολήν" ἀντὶ τοῦ*

1. *ἐστιν* om. 3. *ὥστε—ὄντων*] *ἥτε προῖκα ἔχειν ἀδελφοὺς ἔχουσα. ἐπίδικος αὐτῇ*] *αὐτῆς* D. 4. *ὅτῳ*] *τίνι* 4—8. *ταῦτα δὲ—ἐπιδιδόντες* om. 9. *ὁ δὲ—κέκληκεν*] *Ἰσαῖος δὲ τὴν ἐπίκληρον ἐν τῷ πρὸς Λυσίβιον ἐπικληρέτιν* (sic etiam Suidæ codex optimus; alii *ἐπικληρίτιν* vel *ἐπικληρίτην*. In D. est *ἐπικληρέτην*.) *ἐκάλεσεν*:— 12. *φησὶ* post *Θρασύλλῳ* *τὸ* om. D. 13. *πατρίους*] *πατρίους ἑορτὰς* 16. *ὁπόσα*] *ὅσα* 17. *ὡς σαφὲς—γραφήν* om. Tum pergitur *Λυσίας δὲ ἐπιθέτους ἐπιστολὰς λέγει τὰς δοθείσας τισὶν ὥστε διακομίσαι. καὶ ἐπιθεῖναι ἐπιστολὰς ἀντὶ τοῦ παραδοῦναι. καὶ ἐπίθηκεν ἀντὶ τοῦ παρέδωκεν*:—

1. *τῷ* om. A.
2. *καὶ* post *αὐτῇ* om. A.C.
5. *ἐπικλήρου*] *κλήρου* B.C. — *καὶ* om. B.C.
8. *πέντε*] *καὶ* C.
10. *ἐπικληρῖτιν*] *ἐπικληρίτην* A. *ἐπικλήρετον* C.G. *ἐπικληρέτου* B.
11—13. om. C.
11. *Δημοσθένης*] p. 973. extr. in formula *ἐγκλήματος*.
12. *ἐπὶ Θρασύλλῳ*] Sic etiam in marmore Elginiano, de quo dixit Boeckh. Corp. Inscr. vol. I. p. 288. 290.
12. *τῷ*] *τοῦ* A.
14. *Ἰσοκράτης*] p. 145 c.
15. *ἄλλως*] *ἄλλας* A. — *δὲ*] *δὲ καὶ* C.
16. *ἄλλα* additum ex Epitome. — *ὁπόσα*] *ὅσα* B.
17. *τῷ—γραφήν*] *τῇ—γραφῇ* A.B. Ald.

παρέδωκεν, ὡς Δημοσθένης ἐν τῷ ὑπὲρ Χρυσίππου πρὸς τὴν Φορμίωνος παραγραφήν. Κρατῖνος δ' ἐν Τροφωνίῳ * * * *

Ἐπικεκηρυχέναι: Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας. ὁπότε βούλοιτο πόλις ἢ ἄρχων ἀναιρεθῆναί τινα τῶν μὴ ὑφ' ἑαυτοῖς, ἐκήρυττε δώσειν χρήματα, εἴ τις αὐτὸν ἀνέλοι, τόσα καὶ τόσα, καθάπερ Ξέρξῃ ἐπεκήρυξαν οἱ Ἕλληνες, εἴ τις ἢ ζῶντα ἢ νεκρὸν κατάγοι Ἀθήναζε, δώσειν ρʹ τάλαντα.

Ἐπικηρυκεία: τὸ περὶ φιλίας καὶ διαλλαγῶν κήρυκας πέμπειν· Δημοσθένης Φιλιππικῶν εʹ.

Ἐπὶ κόρρης: Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. ἄλλοι μὲν ἄλλως ἀπέδοσαν, βέλτιον δὲ ὑπολαμβάνειν ἐπὶ κόρρης λέγεσθαι τὸ ἐπὶ τῆς γνάθου, ὃ λέγομεν ἐν τῷ βίῳ ῥάπισμα. Ὑπερείδης γοῦν ἢ Φιλῖνος ἐν τῷ κατὰ Δωροθέου, προειπὼν τὸν ῥαπίσαντα Ἱππόνικον ἐπὶ κόρρης γραφῆναι ὕβρεως, ἐν τοῖς ἑξῆς ὥσπερ ἐξηγεῖται τοὔνομα λέγων "ἔπειτα Ἱππόνικος ὑπ' Αὐτοκλέους μόνον ἐρραπίσθη τὴν γνάθον, "ἐγὼ δ' ὑπὸ τούτων τῶν τριχῶν εἱλκόμην, κονδύλους ἔλαβον."

Ἐπικράτης: Ἰσαῖος ἐν τῷ περὶ τῶν ἐν Μακεδονίᾳ ῥηθέντων. οὗτός ἐστιν ὁ τῶν Ἀθηναίων δημαγωγὸς ὁ σακεσφόρος ἐπικαλού-

3. Δ.—πρεσβείας om. 5. χρήματα τῷ ἀνελόντι ἢ καὶ (καὶ om. D.) ζῶντα προσάγοντι (προσαγαγόντι Suidas), καθὰ καὶ Ξέρξην (ξέρξιν T.) ἐπεκήρυξαν οἱ Ἕλληνες τῷ καταγαγόντι ἢ ζῶντα (ἢ ζῶντα om. D.) ἢ τεθνηκότα Ἀθήναζε ρ̄ δώσειν τάλαντα:— 9. ε̄ Φιλιππικῶν:— 10. ΚΟΎΡΡΗΣ] κόρης (κόρρης Suidas) Δ.—Μειδίου om. 11. βέλτιον δὲ ἐπὶ τῆς γνάθου ἐκλαμβάνειν, ὃ κατ' ἔθος λέγομεν ῥάπισμα. οὕτω γὰρ χρῶνται καὶ οἱ ῥήτορες:— 17. Ἰσαῖος —ὁ τῶν om. 18. ὁ σακεσφόρος] ὁ καὶ (ὁ καὶ om. Suidas) ἔφορος

1. Δημοσθένης] p. 915, 17.
2. Lacunam post Τροφωνίῳ indicavit Sauppius Fragm. p. 189.
3. Δημοσθένης] p. 347, 25.
— πρεσβείας] παραπρεσβείας Ald.
4. τῶν μὴ ex Epitome pro τῶν μὴ ὄντων.
5. ἐκήρυττε A. Ald. et Epitome. Ceteri ἐκήρυσσε.
6. ἢ ζῶντα] ἢ om. B.C.
7. κατάγοι] καταγάγοι B. Ald.
9. Δημοσθένης] p. 61, 23.
— Φιλιππικῶν] φιλιππικῷ A.B.N.
10. Δημοσθένης] p. 537. extr. 562, 9.
— ἐν τῷ om. A.
12. ἐν τῷ βίῳ] Id est *in lingua vulgari*: v. quæ dixi in Thesauro vol. 2. p. 254 d.
— γοῦν Bekkerus. Libri οὖν.
13. τὸν ῥαπίσαντα (*eum qui Hipponico alapam duxisset*) Sauppius Fragm. p. 291. Legebatur ῥαπίσαντα τόν.
14. ἐξηγεῖται—λέγων] ἐξηγούμενος—λέγει C G.
16. ἔλαβον] τ' ἔλαβον N.
18. ὁ ante σακεσφόρος recte fortasse omisit Suidas.
— σακεσφόρος Maussacus collatis comicorum locis, ubi ita appellatur, de quibus dixit Bergk. in

μενος, οὗ μνημονεύει καὶ Δημοσθένης ἐν τῷ περὶ τῆς πρεσβείας. ἕτερος δ' ἐστὶν Ἐπικράτης οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ περὶ διοικήσεως, λέγων ὡς χαλκοῦς ἐστάθη διὰ τὸν νόμον τὸν περὶ τῶν ἐφήβων, ὅν φασι κεκτῆσθαι ταλάντων ἑξακοσίων οὐσίαν. ἄλλος δ' ἐστὶν Ἐπικράτης Αἰσχίνου τοῦ ῥήτορος κηδεστής, ὡς δηλοῦται ὑπ' αὐτοῦ ἐν τῇ περὶ τῆς πρεσβείας ἀπολογίᾳ· οὗτος μέντοι ἐπωνύμιον εἶχε Κυρηβίων, ὡς Δημοσθένης φησὶν ἐν τῷ κατ' Αἰσχίνου.

Ἐπιλαχών: Αἰσχίνης κατὰ Κτησιφῶντος "οὔτε λαχὼν οὔτ' "ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος." ἔοικε τὸ γιγνόμενον τοιοῦτον εἶναι. ἐκληροῦντο οἱ βουλεύειν ἢ ἄρχειν ἐφιέμενοι, ἔπειτα ἑκάστῳ τῶν λαχόντων ἕτερος ἐπελάγχανεν, ἵν' ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκιμασθῇ ἢ τελευτήσῃ, ἀντ' ἐκείνου γένηται βουλευτὴς ὁ ἐπιλαχὼν αὐτῷ. ὑποφαίνεται δὲ ταῦτα ἐν τῷ Πλάτωνος Ὑπερβόλῳ.

Ἐπιμεληταὶ τῶν μυστηρίων: παρ' Ἀθηναίοις ὁ λεγόμενος βασιλεύς· Δημοσθένης κατὰ Μειδίου. Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶν οὕτως "ὁ δὲ βασιλεὺς πρῶτον μὲν τῶν μυστηρίων "ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος χειροτονεῖ, β' μὲν "ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' ἐξ Εὐμολπιδῶν, ἕνα δ' ἐκ Κηρύκων."

1. οὗ καὶ Δημοσθένης ἐν τῷ παραπρεσβείας μνημονεύει. ἕτερος δέ ἐστιν οὗ μνημονεύει Λυκοῦργος 3. λέγων—ἐφήβων om. 5. ὡς δηλοῦται—μέντοι om. 6. ἐπωνύμιον εἶχε] ᾧ ἐπώνυμιον κηρυκίων D. κυρηκίων E.T. Recte apud Suidam. 7. φησὶν om. 8. ἐν τῷ κατὰ 9. ἔοικε—εἶναι] τοιοῦτον δ' ἐστὶ τὸ λεγόμενον 10. ἢ om., habet Suidas. 11. ὁ προλαχὼν 12. βουλευτὴς ἢ ἄρχων ὁ ἐπιλαχών :— 15 Δημοσθένης—ὁ δὲ βασιλεὺς om. 17. τῶν om. 17. β' μὲν] δ̄ δὲ ἦσαν, β̄ μὲν 18. ἕνα δ' ἐξ—ἕνα δ' ἐκ] ᾱ δὲ ἐξ—καὶ ᾱ ἐκ

libro de reliquiis com. Att. p. 389. Libri καὶ ἔφορος. In Isæi oratione Epicratem exempli caussa memoratum esse monuit Weissenbornius apud Saupp. Fragm. p. 238., quemadmodum etiam ab Demosthene factum est p. 430, 4.

1. μνημονεύει καὶ Δημοσθένης] δημοσθένης μνημονεύει B.C.

— πρεσβείας] παραπρεσβείας Ald.

3. χαλκοῦς] χαλκοῦν A. Ald.

6. πρεσβείας] παραπρεσβείας Ald. Locus Æschinis est p. 48, 14.

— Κυρηβίων] κηρυβίων A. Ald.

7. ὡς] ὡς ὁ A.C. Ald.

7. Δημοσθένης] p. 433, 21.

8. Αἰσχίνης] p. 62, 31.

12. γένηται] ᾖ N.

14. Ἀθηναίοις] αὐτοῖς N.

— λεγόμενος βασιλεὺς] δικαστής C.

15. Δημοσθένης] p. 570, 6.

— δ' addidi ex A.

16. φησὶν] βοᾷ B.C.

— τῶν om. B.C. et Epitome.

17. χειροτονεῖ Bekkerus. Legebatur ἐχειροτόνει, quod qui servare volet verba οὓς ὁ δῆμος—Κηρύκων non Aristotelis, sed Harpocrationis esse credere debebit. Verum hoc parum probabile. Post ἐχειροτόνει

'Επιμελητὴς ἐμποριου: Δείναρχος ἐν τῷ κατὰ Πυθέου. 'Αριστοτέλης "ἐμπορίου δ' ἐπιμελητὰς ι' κληροῦσιν, τούτοις δὲ προστέ-" "τακται τῶν τε ἐμπόρων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέ-" "οντος εἰς τὸ 'Αττικὸν ἐμπόριον τὰ β' μέρη τοὺς ἐμπόρους ἀναγκά-" "ζειν εἰς τὸ ἄστυ κομίζειν."

'Επιμήνια: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ἔοικεν εἶναι ἐπιμήνια ἤτοι τὰ καθ' ἕκαστον μῆνα θυόμενα, ἢ τὰ ὑπὲρ ὅλου τοῦ μηνὸς ἅπαξ ποτὲ γιγνόμενα θύματα.

'Επιορκήσαντα: Λυσίας κατὰ Θεομνήστου ἐξηγήσατο ὅτι τὸ ἐπιορκήσαντα ὀμόσαντα ἐστίν.

'Επὶ Παλλαδίῳ: Δημοσθένης ἐν τῷ κατ' 'Αριστοκράτους. δικαστήριόν ἐστιν οὕτω καλούμενον, ὡς καὶ 'Αριστοτέλης ἐν 'Αθηναίων πολιτείᾳ, ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως οἱ ἐφέται. ἔσχε δὲ καὶ τὸ δικαστήριον τὴν τοῦ Παλλαδίου ἐπωνυμίαν καὶ οἱ δικασταὶ τὴν τῶν ἐφετῶν ἐντεῦθεν. 'Αγαμέμνονος μετὰ τῶν 'Αργείων σὺν τῷ Παλλαδίῳ προσενεχθέντος 'Αθήναις ἐξ 'Ιλίου Δημοφῶν ἁρπάζει τὸ Παλλάδιον καὶ πολλοὺς τῶν διωκόντων ἀναιρεῖ. 'Αγαμέμνων

1. 'ΕΠΙΜΕΛΗΤΑ'Σ 'Ε. δέκα ἐκλήρουν ἐπιμελητὰς οἱ 'Αθηναῖοι ἐμπορίου, οἷς προστέτακτο τῶν τε ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου (τοῦ addit D.) καταπλέοντος—μέρη ἀναγκάζειν—κομίζειν:— 6. Λυκοῦργος—ἤτοι om. 7. θυόμενα] φυόμενα 8. γενόμενα (sic Suidæ codex A.: ceteri γινόμενα) 9. κατὰ—ὅτι τὸ om. 10. ὀμόσαντα ἐστίν] τὸν ὀμόσαντα εἶπεν:— 11. 'ΕΠΙ' ΠΑΛΛΑΔΙ'ΩΙ. δικαστήριον 'Αθήνησιν, ἐν ᾧ οἱ ἐφέται ἀκουσίου φόνου ἐδίκαζον. ἔσχεν δὲ καὶ τὸ δικαστήριον— Prima verba ἐπὶ Παλλαδίῳ—ἐδίκαζον ab Harpocratione sumsit Suidas, etiam in postremis glossæ verbis διὰ τὸ—κρίσεως cum Harpocratione consentit, reliqua omisit, substituta ampliore expositione, de qua infra dixi.

Ald. pergit, τέσσαρες ἦσαν, δύο μὲν—εἷς δὲ ἐξ E. καὶ εἷς ἐκ K., haud dubie ex Suida, qui Epitomen sequitur.

1—5. om. C.

1. 'ΕΠΙΜΕΛΗΤΗ'Σ] ἐπιμελητὰς Epitome et recte fortasse.

2. κληροῦσιν] κληροῦσθαι B.

3. τε om. A.

— ἐμπόρων Bekkerus in indice p. 229. Legebatur ἐμπορίων.

7. θυόμενα] ὑπὲρ τῆς πόλεως additur in gl. simili Lex. rhet. Bekk. p. 254, 12.

— τοῦ additum ex Epitome.

9. Λυσίας] p. 117, 35.

11. Δημοσθένης] p. 643, 20.

— ἐν τῷ om. B.

14. δὲ καὶ τὸ] δὲ τὸ Ald.

15. 'Αγαμέμνονος—] Hanc Clitodemi narrationem esse intelligitur ex Suida s. v. ἐπὶ Παλλαδίῳ, quæ glossa haud dubie sumta est ex Photii Lexico, ubi incidit in lacunam codicis Galeani (inter glossas ἀδιάκριτος—ἐπώνυμοι). Photius autem sua debuit Pausaniæ Lexico, ex quo eadem omnia protulit Eustath. ad Homer. p. 1419.

17. 'Αγαμέμνων—ἀπαιτεῖ om. C. Ald.

δὲ δυσχεράνας δίκην τὸν ἁρπάσαντα ἀπαιτεῖ, καὶ συνίσταται τὸ δικαστήριον ἐπὶ πεντήκοντα μὲν Ἀθηναίων, πεντήκοντα δὲ Ἀργείων, οὓς ἐφέτας ἐκάλεσαν διὰ τὸ παρ' ἀμφοτέρων ἐφεθῆναι αὐτοῖς τὰ τῆς κρίσεως.

Ἐπίπεμπτον: Λυσίας ἐν τῷ πρὸς Κριτόδημον καὶ Πλάτων ἀντὶ ἁπλοῦ τοῦ πέμπτου. Ἀριστοφάνης Δαιταλεῦσιν

οὐ μὴ μεταλάβῃ τοὐπίπεμπτον, κλαέτω.

Ἔπιπλον: Ἰσαῖος ἐν τῷ πρὸς Διοκλέα. τὰ κατὰ τὴν οἰκίαν σκεύη ἔπιπλα λέγουσι, τὴν οἷον ἐπιπόλαιον κτῆσιν καὶ μετακομίζεσθαι δυναμένην. Σοφοκλῆς Ἀθάμαντι.

Ἐπὶ Πρυτανείῳ: δικαστήριόν ἐστι καὶ τοῦτο φονικόν, δικάζει δὲ ἄν τι τῶν ἀψύχων ἐμπεσὸν ἀποκτείνῃ τινά, τοῦτο δ' ἐστὶν ἐὰν λίθος ἢ ξύλον ἢ σίδηρος ἤ τι τοιοῦτον, καὶ τὸν μὲν βαλόντα ἀγνοῇ, αὐτὸ δὲ εἰδῇ καὶ ἔχῃ τὸ τὸν φόνον εἰργασμένον.

Ἐπισημαίνεσθαι: ἀντὶ τοῦ ἐπαινεῖν μὲν καὶ ὡς ἐν τῇ συνηθείᾳ λέγομεν ἐπιφωνεῖν Ἰσοκράτης Παναθηναϊκῷ, ἀντὶ δὲ τοῦ ἐπι-

1. ἀπαιτεῖ] ἀναιρεῖ δικαστήριον] κριτήριον 3. ἐκάλεσαν παρὰ τὸ ἀμφοτέρων 5. Λυσίας μὲν ἀντὶ ἁπλοῦ τὸ πέμπτον εἶπεν:— 8—10. ἔπιπλα τὰ ἐξεπιπολῆς σκεύη, οἷον ἡ ἐπιπόλαιος κτῆσις καὶ ὅση δυνατὴ πλοΐζεσθαι, ἀλλ' οὐκ ἔγγειος:— 11—14. ἘΠΙ' ΠΡΥΤΑΝΕΙ'ΩΙ. φονικὸν (φονικὸν om. Suidas) δικαστήριον, ὅταν τὸ μὲν ἀποκτεῖναν βέλος ἢ λίθος ἤ τι τοιοῦτον φανερὸν ᾖ, ὁ δὲ δράσας οὐκέτι. ἀρχαῖον γὰρ ἔθος ἦν τὸ καὶ τὰ ἄψυχα κρίνειν εἰ χρὴ ἐξορίζεσθαι:— Apud Suidam βέλος ᾖ φανερὸν ἢ λίθος ἤ τι τοιοῦτον, ὁ δὲ δράσας μὴ ᾖ. ἀρχαῖον γὰρ ἔθος (ἦν post ἔθος etiam D. omisit) τὸ—ἐξορίζεσθαι:— 15. ὡς—λέγομεν om. 16. Παναθηναϊκῷ om.

1. ἀπαιτεῖ Blancardus. Libri ἀναιρεῖ.
— δικαστήριον C.G. Ceteri κριτήριον.
3. διὰ τὸ παρ' ἀμφοτέρων scripsi ex Suida. Legebatur παρὰ τὸ ἀμφοτέρων, omisso διὰ τό. In N. est παρὰ τὸ ἀμφοτέρωθεν, quæ haud dubie correctoris conjectura est.
— ἐφεθῆναι] ἀφεθῆναι B.C.
— αὐτοῖς] αὐτῷ N.
5—7. om. C.
5. Πλάτων] Comicum dicere videtur.
— ἀντὶ] ἀντὶ τοῦ Ald.
6. Ἀριστοφάνης] Fragm. 17.
7. οὐ codices. εἰ Ald. ἦν Brunckius conjectura probabili, sed, quum nesciamus quæ verba præcesserint, incerta.
9. μετακομίζεσθαι] μετακομισθῆναι A. κατακομίζεσθαι C.
10. Ἀθάμαντι Casaubonus. Legebatur Ἀκάμαντι. Est fragm. 7.
11—14. om. C.
11. ἘΠΙ' ΠΡΥΤΑΝΕΙ'ΩΙ] Hæc gl. haud dubie spectat ad Demosth. c. Aristocratem p. 645, 15. ut ἐπὶ Παλλαδίῳ et alia indidem sumta.
— ἐστι om. N.
14. σίδηρος] σίδηρον A.N.
15. μὲν additum ex Epitome.
16. Ἰσοκράτης] p. 233 b.
— δὲ om. B.

σφραγίσαι Ἰσαῖος ἐν τῇ ἐξούλης Καλυδῶνι πρὸς Ἁγνόθεον ἀπολογίᾳ.

Ἐπισίτια: τὰ εἰς τροφὴν καὶ εἰς τὸ σιτεῖσθαι διδόμενα· Λυσίας ἐν τῷ κατὰ Δημοσθένους ἐπιτροπῆς. ταῦτα δὲ ἐνίοτε ἐκάλουν καὶ σιτίον.

Ἐπίσκοπος: Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ ἐν τῷ κατὰ Λαισποδίου. ἐοίκασιν ἐκπέμπεσθαί τινες ὑπὸ Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκεπτόμενοι τὰ παρ' ἑκάστοις. Θεόφραστος γοῦν ἐν α' τῶν πολιτικῶν τῶν πρὸς καιροὺς φησὶν οὕτω "πολλῷ γὰρ κάλ-" "λιον κατά γε τὴν τοῦ ὀνόματος θέσιν, ὡς οἱ Λάκωνες ἁρμοστὰς" "φάσκοντες εἰς τὰς πόλεις πέμπειν, οὐκ ἐπισκόπους οὐδὲ φύλακας," "ὡς Ἀθηναῖοι."

Ἐπιστάτης: Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους. δύο εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὁ μὲν ἐκ πρυτάνεων κληρούμενος ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ δεδήλωκεν ὁ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. ἐλέγετο δ' ἐν τοῖς κοινοῖς καὶ ὁ ἐφεστηκὼς πράγματι ὁτῳοῦν, ὡς Ὑπερείδης τε ἐν τῷ κατὰ Δημοσθένους καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος φανερὸν ποιοῦσιν.

Ἐπίσταθμος: Ἰσοκράτης Πανηγυρικῷ "Ἑκατόμνως ὁ Καρίας

1. Ἰσαῖος:— 3. Λυσίας—ἐπιτροπῆς om. 6. ἘΠΙ'ΣΚΟΠΟΣ. οἱ παρ' Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκέψασθαι τὰ παρ' ἑκάστοις πεμπόμενοι ἐπίσκοποι καὶ φύλακες ἐκαλοῦντο, οὓς οἱ Λάκωνες ἁρμοστὰς ἔλεγον:— 13. ἘΠΙΣΤΑ'ΤΗΣ. δύο ἦσαν Ἀθήνησιν, ὧν ὁ μὲν ἐκ πρυτάνεων ἐκληροῦτο, ὁ δὲ ἐκ τῶν προέδρων. ἐλέγετο δὲ καὶ ὁ ἐν τοῖς κοινοῖς ἐφεστηκὼς πράγματι ὁτῳοῦν:—

1. Ἰσαῖος] Ex quo ἐπισημηνάμενος citat Pollux 8, 27.
— πρὸς Ἁ. ἀ.] ἀ. πρὸς ἁ. B.
3. τὰ] ἀντὶ τοῦ A.B.C.
— εἰς] ἐπὶ C.
— καὶ om. B.C.
4. ἐπιτροπῆς] ἐπιτροπικῷ B.
7. ἐοίκασιν—τὰ παρ' ἑκάστοις A.B.C.G. Pro his verbis in Ald. illata sunt verba Epitomes οἱ παρ' Ἀθηναίων usque ad ἁρμοστὰς ἔλεγον, quæ interpolator ex Suida sumsit.
8. γοῦν ἐν α'] οὖν ἐν ā C.
9. τῶν πρὸς καιροὺς om. B.C.N.
10. γε om. N.
11. οὐκ om. N.
— οὐδὲ] ἢ N.
13. Δημοφάνους Maussacus. δημοσθένους A. Ald. et fortasse B. δημοσθένης C.
15. προέδρων] δέκα προέδρων in glossa simili in Lex. rhet. Bekk. p. 245, 1. Qui numerus fortasse excidit apud Harpocrationem. De epistatis illis dixit C.F. Hermannus in Epicrisi quæstionis de proedris apud Athenienses, Gottingæ edita a. 1843., p. 6.
— τίνα] τίνος B.C.
17. τε om. B.C.
18. Αἰσχίνης] p. 55, 41. 56, 1. 58, 4.
— κατὰ om. A.
19. Ἰσοκράτης] p. 74 d.
— Ἑκατόμνως (quo etiam accen-

"ἐπίσταθμος," ὃ οὐδὲν ἕτερον ἦν ἢ κατὰ σατραπείαν Καρίας κύριος.

ʽΕπιτελεοῦν καὶ **ἐπιτελέωμα**: ἀμφότερα πολλάκις ἐστὶ τὰ ὀνόματα ἐν τῷ περὶ τῆς ἱερείας Λυκούργου, ἔοικε δὲ ἐπιτελέωμα λέγεσθαι τὸ ἐπὶ πᾶσι θυόμενον ὑπὲρ τοῦ ἐπιτελεῖς γενέσθαι τὰς πρότερον θυσίας. αὐτὸς γοῦν ὁ ῥήτωρ ἐν τῷ λόγῳ φησὶν "ἔτι τοίνυν ἔφη "πάντων ὕστατα ταῦτα θύεσθαι καὶ ἐπιτελεώματα εἶναι τῶν ἄλλων "θυμάτων."

ʽΕπιτιμηταί: οἱ μὲν τὸ πρῶτον τιμώμενοί τι τιμηταὶ ἐκαλοῦντο, οἱ δὲ τοῖς ἑξῆς ἔτεσι τὰ αὐτὰ τιμώμενοι ἐπιτιμηταί· Λυσίας ἐν τῷ κατὰ Διογένους.

ʽΕπιτείχισμα: τὸ τειχιζόμενον κατά τινων χωρίον, ὅθεν ὁρμώμενοι οἱ τειχίσαντες κακῶς δυνήσονται ποιεῖν τοὺς ἐπιτειχισθέντας· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ τὸ πρᾶγμα δὲ ἐπιτειχισμὸν ὀνομάζουσιν, ὥσπερ ἐν ταὐτῷ λόγῳ ἐστίν.

ʽΕπιτρέπειν: Δημοσθένης ἐν τῷ κατ' ʽΑφόβου α' οὕτως ἤρξατο

1. ὃ] ὃς σατραπείαν (sic Suidas)] σατραπίαν 3. ἀμφότερα—ἔοικε δὲ om. 4. λέγεσθαι] λέγεται 5. ἐπιτελεῖς γενέσθαι] τέλεια (τελείας Suidas) γένεσθαι 6. θυσίας :— 9. οἱ μὲν—Διογένους] τιμηταὶ μὲν οἱ πρῶτόν τι ἐκαλοῦντο τιμώμενοι, ἐπιτιμηταὶ δὲ οἱ χρόνῳ ὕστερον τὰ αὐτὰ τιμώμενοι :— 12—15. ὅθεν—ἐστίν] ὅθεν ἦν τοὺς ἐπιτειχισθέντας κακῶς ποιεῖν. καὶ τὸ πρᾶγμα δὲ ἐπιτειχισμὸς Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος :— 16. 'ΕΠΙΤΡΕ'ΠΕΙΝ—οἰκείοις ἐπιτρέπειν ἀντὶ] ἐπιτρέπειν τοῖς οἰκείοις Δημοσθένης ἀντὶ

tus ʽΕκατόμνος in Ald. et apud Suidam ducit) restitui ex Epitome pro ʽΕκάτομνος, consentiente Isocratis codice optimo. Vide quæ s. v. ʽΕκατόμνως diximus.

1. ὃ Henr. Stephanus. Legebatur ὃς.

— ἦν om. N.

2. κύριος Epitome pro κύριος ὑπῆρχεν.

5. τὸ—γένεσθαι om. B., τὸ — ὕστατα αὐτὰ om. C.

— γενέσθαι] γίνεσθαι cum Epitome N.

6. ἔτι τοίνυν ἔφη om. B.

9. πρῶτον] πρῶτον ἔτος N.

— τι om. B.G.N.

10. τὰ αὐτὰ] ταῦτα ἢ τὰ αὐτὰ A. B.N.

11. κατὰ Διογένους] Recte apud Harpocrationem alibi πρὸς Διογένην, ut monet Sauppius Fragm. p. 184.

12. τειχιζόμενον] ἐπιτειχιζομένον C.

13. κατά τινων om. B. κατά τινος C.G.

14. Δημοσθένης] p. 254, 19.

15. ταὐτῷ] τῷ αὐτῷ B.

16. 'ΕΠΙΤΡΕ'ΠΕΙΝ] Legebatur ἐπιτροπήν (ἐπιτροπή C.). Recepi probabiliorem et literarum ordini magis convenientem scripturam Epitomes, quod fecit etiam Sauppius Fragm. p. 182. etsi ex verbis Epitomes non potest demonstrari non lectum esse ἐπιτροπήν.

— Hujus glossæ initium Ald. ex Suidæ glossa ab Harpocratione alienissima sic interpolatum exhibet, ἐπιτροπή, παρατροπή. ὁ δὲ Λεύκιος ἐπιχειριζόμενος (προχειριζόμενος

"εἰ μὲν ἐβούλετο Ἄφοβος, ὦ ἄνδρες δικασταὶ, δίκαια ποιεῖν περὶ ὧν "διαφερόμεθα τοῖς τε οἰκείοις ἐπιτρέπειν" ἀντὶ τοῦ διαιτητὰς αὐτοὺς αἱρεῖσθαι· ὅθεν καὶ Μενάνδρου δρᾶμα Ἐπιτρέποντες. Λυσίας δ' ἐν τῷ πρὸς τοὺς ἐπιτρόπους τῶν Βόωνος παίδων "ἐπέτρεψεν" εἶπεν "ἀν- "δράσιν" ἀντὶ τοῦ ἐπιτρόπους κατέστησεν.

Ἐπιτρίταις: Ἰσαῖος ἐν τῷ κατὰ Καλλιφῶντος "ἑξακοσίαις "δραχμαῖς ἐπιτρίταις" ἀντὶ τοῦ ἐπὶ η' ὀβολοῖς, κατὰ τὸ τρίτον εἶναι μέρος τοὺς η' ὀβολοὺς τοῦ τετραδράχμου.

Ἐπιχάρης: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὄνομα κύριον, Σικυώνιος προδότης.

Ἐπιχειροτονία: ἡ τῶν χειροτονητῶν κατάστασις· Ὑπερείδης ἐν τῷ ὑπὲρ Σιμίου πρὸς Πυθέαν καὶ Λυκοῦργον.

Ἐπιψηφίζων: ἀντὶ τοῦ ἐπικυρῶν· Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος. πολὺ δέ ἐστι παρὰ τοῖς Ἀττικοῖς τοὔνομα ἐπὶ τούτου τοῦ σημαινομένου, ὡς καὶ παρὰ Ξενοφῶντι ἐν α' Ἀπομνημονευμάτων.

2. διαιτητὰς] δικαστὰς 3—5. αἱρεῖσθαι—ἀντὶ τοῦ] αἱρεῖσθαι. Λυσίας δὲ ἐπέτρεψεν ἀνδράσιν εἶπεν ἀντὶ τοῦ 7. τρίτον—μέρος] τρίτον (sic, consentiente Suida et Etym. M.)—μερίδα. 9. Δ. ἐν—Κτ. post προδότης. ὄνομα κύριον om. 11. κατάστασις] ἀπόστασις:— 13. ἘΠΙΨΗΦΙΊΖΩΝ. ἐπικυρῶν:—

apud Suidam) διαπέμπεσθαι πρὸς τοὺς Λαπατηνοὺς καὶ λαλεῖν ὑπὲρ ἐπιτροπῆς ἀπαράσκευος ἣν εἰς τὸ μέλλον. (Hæc inter Polybii fragmenta retulit Fulv. Ursinus.) καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀφόβου πρώτῳ etc.

1. δικασταὶ om. A.B.C.

4. Βόωνος] Scribebatur Βοῶνος. Vide quæ s. v. ἀνάγειν diximus.

— ἐπέτρεψεν—κατέστησεν] ἐπέτρεψαν—κατέστησαν ap. Zonaram et Favorinum.

— εἶπεν ἀνδράσιν] εἶπε τοῖς ἀνδράσιν Sauppius Fragm. p. 182.

6. κατὰ Καλλιφῶντος] δευτέρῳ Καλλιφῶντος Etym. M. p. 366, 54 vitiose.

7. ἀντὶ τοῦ ἐπὶ η' ὀβολοῖς] Quod Harpocratio tradit verum non est: nam τόκοι ἐπίτριτοι sunt 33⅓ centesimarum, τόκοι ἐπ' η' ὀβολοῖς sunt 16 centesimarum, ut recte monet Saupp. Fragm. p. 237. citato Boeckh. Œcon. vol. 1. p. 173. 192. ed. sec. Feminina terminatio ἐπιτρίταις, in qua consentit Lex. rhet. Bekk. p. 253, 13. non immerito suspecta fuit H. Stephano.

7. κατὰ τὸ] ὥστε N.

8. τετραδράχμου] δ̄ δραχμοῦ codices nonnulli, inter quos T., quod compendium male intellectum fecit ut τετάρτου δραγμοῦ scriberetur in Etym. M. codice Dorvilliano. Inepte τῆς δραχμῆς in Lex. rhet. Bekk. p. 253, 15.

9.—12. om. C.

9. Δημοσθένης] p. 324.

— κύριον om. A.B.

11. χειροτονητῶν] χειροτονησάντων B.

12. Σιμίου] Scribebatur Σιμμίου. συμμίου Ald. σημείου B.

13. Δημοσθένης Maussacus. Libri Αἰσχίνης. Est p. 596, 4.

15. ἐν α' (πρώτῃ Ald.) Ἀπομνημονευμάτων] c. 1, 18.

Ἐπόγδοον: Δημοσθένης ἐν τῷ πρὸς Πολυκλέα περὶ τοῦ ἐπιτριηραρχήματος. εἴη δ' ἂν ἐπόγδοον τὸ οὕτω δεδανεισμένον ὥστε τοῦ κεφαλαίου τὸ ὄγδοον μέρος δοθῆναι τῷ δανειστῇ, οἷον τριώβολον τοῦ τετραδράχμου.

Ἐπωβελία: Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. ἐπιτίμιόν ἐστιν ἡ ἐπωβελία τὸ ἕκτον μέρος τοῦ τιμήματος, ὅπερ ἐδίδοσαν οἱ διώκοντες τοῖς φεύγουσιν, εἰ μὴ ἕλοιεν. ἐκαλεῖτο δὲ οὕτως, ὅτι καθ' ἑκάστην δραχμὴν ὀβολὸς ἦν, ὅπερ ἕκτον ἐστὶν, ἐν ἓξ ὀβολοῖς τῆς δραχμῆς λογιζομένης. ἐκ πολλῶν δὲ ἔστι τοῦτο οὕτως ἔχον μαθεῖν.

Ἐπώνια: τέλος ἐστὶ τὸ ἐπὶ τῇ ὠνῇ διδόμενον, εἴη δ' ἂν ἴσως ἡ πέμπτη· Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους κἀν τῇ πρὸς Τληπόλεμον ἀντωμοσίᾳ.

1. ἘΠΟΓΔΟΟΝ—εἴη δ' ἂν om. 2. οὕτω om. 3. μέρος λαβεῖν τὸν δανειστὴν τριώβολον] τὸν (τὸ Suidas) τριώβολον 5. ἘΠΩΒΕΛΙΑ—ἐστιν ἡ om. 6. ἕκτον—μαθεῖν] ἕκτον τίμημα τῆς δίκης ὃ ἐπράττου οἱ γραψάμενοί τινας καὶ μὴ ἑλόντες αὐτοῖς τοῖς γραφεῖσιν. ἐκαλεῖτο δὲ οὕτως ὅτι καθ' ἑκάστην δραχμὴν ὀβελὸς (ὀβελὸς etiam Z. et Suidas) ἦν:— 10. ἘΠΩΝΙΑ (ἐπώνια Suidas) ἐστὶ τὸ ἐπὶ] ἐστὶν ἐπὶ D. 11. πέμπτη:—

1. Δημοσθένης] p. 1212, 2.

2. ἐπωβελία N. Legebatur ἐπωβελίαι. ἐποβολίαι B. ἐπιβολαὶ C.

— Δημοσθένης] p. 1103, 15.

6. ἡ ἐπωβελία] ἡ ἐποβολία B. ἡ ἐπιβολὴ C.

— τὸ ἕκτον—ἐκαλεῖτο] His verbis Ald. substituit quæ supra ex Epitome attulimus. Sumsit autem ex Suida et ita quidem ut pro τὸ ἕκτον τίμημα τῆς δίκης ὃ poneret τὸ ἕκτον μέρος τοῦ τιμήματος ὃ—.

10. ἘΠΩΝΙΑ] Libri ἐπωνία (ἐπωνίαι C.) Recto accentu apud Suidam aliosque grammaticos: vid. Kuhn. ad Polluc. 7, 15. In vitioso consentit Etym. M. p. 368, 30. Eodem modo κηρυκεία apud Harpocr. s. h. v. male scriptum erat pro κηρύκεια.

— ἐπὶ] ἐν N., om. B.

11. πέμπτη] Hoc incredibile esse judicat Boeckh. Œcon. vol. 1. p. 440. rectumque numerum videri ἑκατοστή, quem ponit Lex. rhet. Bekk. p. 255, 1. ἐπώνια καὶ κηρύκεια: ἐπώνια μὲν τὰ ἐπὶ τῇ ὠνῇ προσκαταβαλλόμενα ὥσπερ ἑκατοσταί τινες, κηρύκεια δὲ (de quibus v. Harpocr. s. h. v.) τὰ τῷ κήρυκι διδόμενα ὑπὲρ τοῦ κηρύττειν τὰ τέλη πιπρασκόμενα. Omittit numerum Pollux 7, 15. τὰ δὲ καταβαλλόμενα ὑπὲρ τῶν πιπρασκομένων τέλη ἐπώνια λέγουσι. Agris venditis centesimam numeratam fuisse Boeckhius ostendit veteris tituli auctoritate ibid. et vol. 2. p. 348. Longe alia de his Bakii sententia est Schol. Hypomn. vol. 4. p. 273. 274. qui ἐπώνια et κηρύκεια ad idem pertinere putat institutum locandorum aut vendendorum vectigalium, viderique in glossa Lexici rhetorici, ubi προκαταβαλλόμενα corrigit, hoc significari, in vectigalium venditione moris fuisse ut publicani, qui redemissent, non tantum ἐγγυητὰς præstarent, sed pretii quoque partem statim solverent in fidem emtionis, quæ si ἡ πέμπτη fuerit, non videri hoc modum excedere.

Ἐπώνυμοι: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. διττοί εἰσιν οἱ ἐπώνυμοι, οἱ μὲν ι' τὸν ἀριθμὸν, ἀφ' ὧν αἱ φυλαὶ, ἕτεροι δὲ β' καὶ μ', ἀφ' ὧν αἱ ἡλικίαι προσαγορεύονται τῶν πολιτῶν καθ' ἕκαστον ἔτος, ἀπὸ ιη' ἐτῶν μέχρι ξ'.

Ἐποπτευκότων: Ὑπερείδης ἐν τῷ ὑπὲρ Φρύνης. οἱ μυηθέντες ἐν Ἐλευσῖνι ἐν τῇ δευτέρᾳ μυήσει ἐποπτεύειν λέγονται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δημοσθένους λόγου καὶ ἐκ τῆς δεκάτης Φιλοχόρου.

Ἐρανίζοντες: Δημοσθένης ἐν τῇ περὶ τῶν Λυκούργου παίδων ἐπιστολῇ ἐρανίσας εἶπεν ἀντὶ τοῦ ἔρανον αἰτήσας· ἐν δὲ τῷ περὶ τοῦ ὀνόματός φησι "τί δὲ εἰ ψευδομαρτυριῶν ἁλώσεσθαι προσδοκῶν ἐφ' " οἷς ἐρανίζει τούτοις τοῖς περὶ αὐτόν;" ἀντευποιεῖ ἀποδιδοὺς τὴν ἴσην βοήθειαν αὐτοῖς, ἣν κἀκεῖνοί ποτε παρέσχον ψευδομαρτυρήσαντες ὑπὲρ αὐτοῦ. ἐρανιστὴς μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων καὶ τὴν φορὰν ἣν ἑκάστου μηνὸς ἔδει καταβάλλειν εἰσφέρων. τὸ δὲ ὄνομα παρὰ Λυσίᾳ ἐν τῷ πρὸς Ἀριστοκράτην περὶ ἐγγύης ἐράνου, εἰ γνήσιος.

Ἔργα νέων: τοῦτο καὶ Ὑπερείδης ἐν τῷ κατ' Αὐτοκλέους Ἡσι-

1. Δ.—Τιμοκράτους om. 2. β' καὶ μ'] δύο. καὶ τοῖς μὲν (sic etiam Phot.: sed Suidas δύο ἐπὶ τοῖς μ') 4. ἐτῶν] ἔτους 5. Ὑπερείδης—Φρύνης om. 6. λέγονται:— 9. ἘΡΑΝΊΖΟΝΤΕΣ—εἶπεν ἀντὶ] ἐρανίσας Δημοσθένης ἀντὶ 10—14. ἐν δὲ τῷ—ὑπὲρ αὐτοῦ om. 15. εἰσφέρειν (εἰσφέρειν etiam Phot. et Suidas):— 18. τοῦτο—εἶναι om.

1. Δημοσθένης] p. 705, 19. 707, 13.

— διττοί] διττοὶ δέ N.

2. β' καὶ μ'] δύο καὶ τεσσαράκοντα Ald. δύο καὶ μδ' B. Sumta autem hæc sunt ex Aristotele in Rep. Athen., cujus verba Harpocratio apposuit s. v. στρατεία ἐν τοῖς ἐπωνύμοις.

4. μέχρι ex Epitome pro μέχρις.

6. Ἐλευσῖνι] ἐλευσίνοις B. ἐλευσινίοις C. ἐλευσινοῖς G. ἐν om. N.

7. Δημοσθένους] Nisi plura exciderunt, scribendum fortasse κατὰ Δημοσθένους, ut Hyperidis contra Demosthenem oratio intelligatur.

9. Δημοσθένης] p. 1484, 3.

— περὶ additum ex N.

9. τῶν Blancardus. τοῦ libri.

10. ἐν δὲ τῷ (sic Bekkerus: libri τῇ) περὶ τοῦ ὀνόματος] p. 999, 24.

12. τούτοις om. N.

— αὐτόν] ἑαυτόν A. Ald. αὐτῶν B.

13. αὐτοῖς] αὐτοῦ B.C.

— ἣν om. B.C.

15. καταβάλλειν] καταβαλεῖν N.

16. πρὸς] παρὰ A.B.C. Ald.

— Ἀριστοκράτην] ἀριστοκράτη B.

— εἰ γνήσιος om. C.

18. Ἡσιόδου] Si sit Hesiodi, ad Χείρωνος ὑποθήκας referendum judicat Gœttling. ad Fragm. 179.

P. 134, 1. εἶναι. παροιμία τίς ἐστιν, ἣν] εἶναι παροιμίαν, ἣν B.G. εἶναι τὴν παροιμίαν ἣν C.

— καὶ om. A.

ὁδὸν φησὶν εἶναι. παροιμία τίς ἐστιν, ἣν ἀνέγραψε καὶ Ἀριστοφάνης ὁ γραμματικὸς οὕτως ἔχουσαν

ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων.

Ἐργίσκη: Αἰσχίνης κατὰ Κτησιφῶντος. καὶ ἡ Ἐργίσκη τῆς Θρᾴκης ἐστὶν, ὠνόμασται δὲ ἀπὸ Ἐργίσκου τοῦ Ποσειδῶνος καὶ Ἄβας νύμφης.

Ἐργοκλῆς: στρατηγὸς Ἀθηναίων.

Ἐργόφιλος: καὶ οὗτος στρατηγὸς Ἀθηναίων.

Ἕρκειος Ζεύς: Δείναρχος ἐν τῷ κατὰ Μοσχίωνος "εἰ φράτορες "αὐτῷ καὶ βωμοὶ Διὸς ἑρκείου καὶ Ἀπόλλωνος πατρῴου εἰσίν." ἕρκειος Ζεὺς, ᾧ βωμὸς ἐντὸς ἕρκους ἐν τῇ αὐλῇ ἵδρυται· τὸν γὰρ περίβολον ἕρκος ἔλεγον. ὅτι δὲ τούτοις μετῆν τῆς πολιτείας οἷς εἴη Ζεὺς ἕρκειος, δεδήλωκε καὶ Ὑπερείδης ἐν τῷ ὑπὲρ δημοποιήτου, εἰ γνήσιος, καὶ Δημήτριος ἐν τοῖς περὶ τῆς Ἀθήνησι νομοθεσίας.

Ἕρμα: ἡ ὕφαλος πέτρα· Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. ἔστι δὲ τοὔνομα καὶ παρ' Ἀνακρέοντι καὶ ἐν Γηρυτάδῃ Ἀριστοφάνους.

Ἑρμαῖ: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος καὶ Ὑπερείδης ἐν τῷ

1. ἐστιν—ἔχουσαν] ἐστιν οὕτω προαγομένη (προσαγορευομένη Phot.; totam gl. omisit Suidas) 4.—6. ἘΡΓΙ'ΣΚΗ. (πόλις addit D.) τῆς Θρᾴκης ἐστίν. ἀπὸ—Ἄβας (ἅμας D.) νύμφης :— 7. 8. ἘΡΓΟΚΛΗ͂Σ καὶ ἘΡΓΟ'ΦΙΛΟΣ. στρατηγοὶ Ἀθηναίων :— 9. 10. ἝΡΚΕΙΟΣ—εἰσίν om. 11. βωμοὶ—ἵδρυνται 12. ὅτι—τῆς] μετῆν δὲ τῆς 13. ἕρκειος :— 15.—17. ἙΡΜΑ'Ν ὕφαλος πέτρα. Ἀντιφῶν καὶ Ἀνακρέων καὶ Ἀριστοφάνης :— 18. Αἰσχίνης—δωρεῶν om.

4.—8. om. C.

4. Αἰσχίνης] p. 65, 23.

7. 8. ἘΡΓΟΚΛΗ͂Σ — ἘΡΓΟ'ΦΙΛΟΣ] Hos memorat Demosth. p. 398, 2.

9. ἝΡΚΕΙΟΣ (ἑρκεῖος Ald. et Suidas.)] ἕρκιος hic et infra et ἑρκίου C.G.

11. βωμὸς—ἵδρυται A.B.C.G. βωμοὶ—ἵδρυνται Ald.

— αὐλῇ ex Epitome pro βουλῇ.

13. Ζεὺς] ὁ ζεὺς B.C.

14. τῆς—νομοθεσίας] τὴν—νομοθεσίαν A. Ald.

— Ἀθήνησι Bekkerus. Libri ἐν Ἀθήνησιν. De quo vitio dixi in annot. ad Epitomen s. v. Δελφίνιον.

15. ἝΡΜΑ ἡ ὕφαλος Blomfield. in Gloss. ad Æsch. Agam. 977. ἕρμα ὕφαλος Valesius. Legebatur ἑρμὰν (ἑρμᾶν C. ἑρμιὰν A. ἑρμὰς Ald.) ὕφαλος, consentiente Epitome. Nam quod Suidæ codex Paris. A. præbet ἑρμᾶ librarii error est.

16. δὲ additum ex A. In B. est καὶ ἔστι.

— Ἀνακρέοντι] Anacreontis verba, ἀσήμων ὑπὲρ ἑρμάτων φορεῦμαι, servavit Hesychius s. v. ἕρμα.

17. Ἀριστοφάνης] Fragm. 219.

18. Αἰσχίνης] p. 80, 5.

— Αἰσχίνης—δωρεῶν om. C.

περὶ τῶν Εὐβούλου δωρεῶν. Μενεκλῆς ἢ Καλλικράτης ἐν τῷ περὶ Ἀθηνῶν γράφει ταυτί "ἀπὸ γὰρ τῆς Ποικίλης καὶ τῆς τοῦ βασι-" λέως στοᾶς εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι· διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι " καὶ ὑπὸ ἰδιωτῶν καὶ ἀρχόντων ταύτην τὴν προσηγορίαν εἰληφέναι " συμβέβηκεν. ἐφ' ἑνὸς δὲ αὐτῶν ἐπιγέγραπται γράμμασιν ἀρ-" χαίοις

ἀντ' εὐεργεσίης Ἀγαμέμνονα δῆσαν Ἀχαιοί."

ὅτι δὲ καὶ Ἑρμῶν στοά τις ἐλέγετο δεδήλωκε καὶ Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ὅτι δὲ ἐκαλοῦντό τινες καὶ Ἱππάρχειοι Ἑρμαῖ ἀπὸ Ἱππάρχου τοῦ Πεισιστράτου εἴρηται ἔν τε τῇ ἀρχαίᾳ κωμῳδίᾳ καὶ παρὰ Πλάτωνι ἐν τῷ Ἱππάρχῳ.

Ἕρμος: δῆμός ἐστι τῆς Ἀττικῆς, φυλῆς Ἀκαμαντίδος, ὥς φησι Διόδωρος ἐν τῷ περὶ τῶν δήμων. Διονύσιος δὲ ὁ τοῦ Τρύφωνος ἐν τῷ περὶ ὀνομάτων φησὶν ὡς ἔοικεν οὐδέτερον εἶναι τὸ τοῦ δήμου ὄνομα τὸ

1. Καλλικράτης] ἀλλικράτης D. Καλλιστράτης Suidas, non Photius. 2. Ἀθηνῶν] Ἀθηναίων 3. οἱ—καλούμενοι] οἱ (αἱ D.)—καλούμεναι 3.—9. διὰ γὰρ—Νικοκλέα om. 9. ὅτι δὲ ἐκαλοῦντο] ἐκαλοῦντο δέ Ἱππάρχειοι] Ἱππάρχιοι 10. Πεισιστράτου:— 12. ἝΡΜΟΣ (ἑρμός E. T.D.) δῆμος ἐστιν τῆς Ἀττικῆς (Ἀττικῆς om. Photius, habet Suidas) Ἀκαμαντίδος. Διονύσιος δὲ οὐδετέρως λέγει τὸ Ἕρμος ὡς ἕρκος:—

1. Καλλικράτης restitui ex Epitome pro Καλλιστράτης, quod Maussacus in Καλλίστρατος mutaverat. V. quæ s. v. Ἑκατόμπεδον diximus.
— ἢ Καλλικράτης om. N.
2. Ἀθηνῶν] Legebatur Ἀθηναίων. Correxi cum Reinesio (ad Suidam s. v. Ἑρμαῖ) in annot. ad schol. Aristoph. Av. 395. vol. 3. p. 182. ubi idem notavi codicum Ravennatis et Veneti vitium.
— ταυτί] ταῦτα A. Terminatione δεικτικῇ utitur Harpocratio s. v. ἀποστασίου, ἑβδομενομένου, θόλος, παρεῖαι ὄφεις, σηκός, συμμορία, τετρυπημένη.
3. τὸ πολλοὺς] τὰ πολλὰ B.C.
4. ἰδιωτῶν—ἀρχόντων] τῶν ἰδιωτῶν —τῶν ἀρχόντων N.
— εἰληφέναι post ταύτην Ald.
5. συμβέβηκεν:— C.
7. ἀντ' εὐεργεσίης—Ἀχαιοί] Est versus Mæsonis, hist·[illegible]onis et poetæ, qui in proverbium cessit: vid. Zenob. Proverb. 2, 11. et Nauck. de Aristoph. Byz. p. 277.
8. ὅτι δὲ καί] καὶ om. B.
— Ἑρμῶν Sluiter. Lect. Andocid. p. 36. Legebatur Θρᾳκῶν. Ἑρμῶν στοάν memorant Xenophon Hipparch. 3, 2. et Æschines p. 80, 5.
10. εἴρηται—Ἱππάρχῳ] δηλοῖ μὲν ἡ ἀρχαία κωμῳδία, δηλοῖ δὲ καὶ πλάτων N.
11. Πλάτωνι ἐν τῷ Ἱππάρχῳ] p. 228 d.
12. ἝΡΜΟΣ] Hanc glossam duasque proximas om. C.
— ἝΡΜΟΣ δῆμος τῆς ἀκαμαντίδος φυλῆς, περὶ οὗ φησὶ διονύσιος ὁ τοῦ τρύφωνος ἐν τῷ περὶ ὀνομάτων ὅτι ὡς ἔοικεν οὐδέτερόν ἐστι τὸ τοῦ δήμου etc. N.
— φυλῆς om. A.B.
13. τῶν addidi ex A.B.

Ἕρμος, ὡς τὸ ἕρκος. Ζώπυρος δὲ ἐν τοῖς περὶ ποταμῶν Ἕρμον φησὶν εἶναι ἐν τῇ Ἀττικῇ καὶ δῆμον ὁμώνυμον αὐτῷ.

Ἑρμῆς ὁ πρὸς τῇ πυλίδι: Δημοσθένης ἐν τῷ κατ' Εὐέργου καὶ Μνησιβούλου. Φιλόχορος ἐν ε' Ἀτθίδος φησὶν ὡς οἱ ἐννέα ἄρχοντες ταῖς φυλαῖς ἀνέθεσαν Ἑρμῆν παρὰ τὸν πυλῶνα τὸν Ἀττικόν.

Ἑρμίας: ὄνομα κύριον, ὁ εὐνοῦχος ὁ τρίπρατος. οἰκείως δὲ διέκειτο πρὸς Ἀριστοτέλην, καὶ τὴν θετὴν αὐτοῦ θυγατέρα ἔδωκε τῷ φιλοσόφῳ.

Ἐροιάδαι: οἱ Ἐροιάδαι δῆμός ἐστι τῆς Ἱπποθωντίδος, ὥς φησι Διόδωρος.

Ἐρυθραῖοι: Δημοσθένης ἐν Φιλιππικῷ η'. πόλις ἐν Ἰωνίᾳ Ἐρυθρὰ, μία τῶν ὑπὸ Νηλέως τοῦ Κόδρου κτισθεισῶν, ὥς φησιν Ἑλλάνικος ἐν Ἀτθίδι.

3. Ὁ ΠΡΟ'Σ] ὡς πρὸς E.T. ὁς (sic) D. Δ.—Μνησιβούλου om. 4. Φιλόχορος λέγει ὡς οἱ 5. πυλῶνα :— 6. ἙΡΜΕΙ'ΑΣ 7. ἀριστοτέλη D. τὴν om. D. 8. φιλοσόφῳ :— Epitomes glossam habet Photius, cum ampliore de Hermia narratione conjunxit Suidas. 9. Ἰ.] Ἰ. φυλῆς :— 11.—13. ἘΡΥΘΡΑΙ῀ΟΙ. οἱ ἀπὸ πόλεως τῆς ἐν Ἰωνίᾳ Ἐρυθρὰ (ἐρυθραὶ Suidæ codex optimus; alii ἐρυθρᾶς cum Photio et Zonara p. 861.) καλουμένης :—

1. τὸ ἕρκος] τὸ om. N.
— τοῖς] τῷ N.
— περὶ ποταμῶν] καὶ ποταμὸν addit N. Quo non opus, quum id facile intelligatur ex verbis περὶ ποταμῶν.

3. Δημοσθένης] p. 1146 extr. Quo loco Philochorique testimonio Harpocratio iterum utitur s. v. πρὸς τῇ πυλίδι Ἑρμῆς, utrobique Philochori librum quintum memorans. Sed ap. Hesych. s. v. ἀγοραῖος Ἑρμῆς est Φιλόχορος ἐν τρίτῳ, quod probat Boeckh. in Comment. de Philochoro p. 14.

5. τὸν Ἀττικόν in τὸν ἀστικόν mutari voluit Leakius in *Topography of Athens*, vol. 1. p. 121. ed. sec., frustra: v. Raoul-Rochette in *Journal des Savants*, 1851. p. 552.

6. ἙΡΜΙ'ΑΣ] In Epitome Ἑρμείας, male, si recte præcepit Suidas s.v. Ἑρμίας, τοῦτον δὲ τὸν Ἑρμίαν μόνον γράφουσι διὰ τοῦ ι. ἐν δὲ τοῖς τοῦ Ἱππώνακτος στίχοις ἰαμβικοῖς εὕρηται στίχος οὗτος "εὐνοῦχος ὢν "καὶ δοῦλος ἦρχεν Ἑρμίας." Hic igitur Ἑρμείας scripserat. De Hermia v. schol. Demosth. p. 202, 27. ed. Oxon. ubi nomen ejus obliteratum restitui in Addendis quæ scholiis in Æschinem adjunxi p. 132.

καὶ ὅτι καὶ οἱ κωμῳδοδιδάσκαλοι καθ' ἕκαστον ἐνιαυτὸν γράφουσιν εἰς αὐτόν. εἴη δ' ἂν οὗτος ὁ διθυραμβοποιὸς, οὗ μέμνηνται πολλάκις οἱ κωμικοὶ καὶ Στράττις ὅλον δρᾶμα ποιήσας εἰς αὐτὸν, ὅπερ ἐπεγράφη Κινησίας, ἐν ᾧ καὶ τὴν ἀσέβειαν αὐτοῦ κωμῳδεῖ.

Κιρραῖον πεδίον: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Κίρρα πόλις ἐστὶν ἀπέχουσα Δελφῶν σταδίους λ'. ἔοικεν οὖν Κιρραῖον πεδίον καλεῖν ὁ ῥήτωρ τὸ ταύτῃ παρακείμενον τῇ πόλει.

Κισθήνη: Ἰσοκράτης Πανηγυρικῷ. ὄρος τῆς Θρᾴκης. Κρατῖνος

κἀνθένδ' ἐπὶ τέρματα γῆς ἥξεις καὶ Κισθήνης ὄρος ὄψει.

Κιττοφόρος: ἔνιοι μετὰ τοῦ σ γράφουσι κιστοφόρος· τὰς γὰρ λεγομένας κίστας ἱερὰς εἶναι ἔλεγον τοῦ Διονύσου καὶ ταῖν θεαῖν.

Κλιμάζηι: Δείναρχος ἐν τῷ ἐπιγραφομένῳ ' συνηγορία Αἰσχίνῃ ' κατὰ Δεινίου' " ὅταν οὖν ἀπολογούμενος κλιμάζῃ καὶ παράγῃ τοὺς

5. ΚΙ'ΡΡΑΙΟΝ (Κιρραῖον hic et infra Suidas) πεδίον. Κίρρα πόλις ἐστὶν (ἐστὶν om. Suidas)—Δελφῶν λ' σταδίους. ἔοικεν οὖν Αἰσχίνης Κίρραιον—τὸ π. ταύτῃ τῇ πόλει:— 8. ΚΙΣΘΗ'ΝΗ. ὄρος τῆς Θ.:— 10, 11. Duæ glossæ, prior, ΚΙΤΤΟΦΟ'ΡΟΣ. ἔνιοι δὲ (ἐνίοτε Suidas, sine δὲ) μετὰ τοῦ σ γράφουσιν:— altera, ΚΙΣΤΟΦΟ'ΡΟΣ. ἔοικεν δὲ τὰς κίστας ἱερὰς εἶναι Διονύσου καὶ ταῖν θεαῖν:— Sic etiam Phot. et Suidas, nisi quod glossarum ordinem invertunt. 12. ΚΛΙΜΑ'ΖΕΙ (κλιμακίζει Suidæ codex A.) Δείναρχος, ὅταν οὖν κλιμάζει καὶ παράγει τοὺς νόμους ἀντὶ τοῦ παρακλίνει καὶ τρέπει (ὅταν οὖν κλιμάζῃ—παράγῃ—παρακλίνῃ—τρέπῃ Phot.; inter utrumque

1. καὶ post ὅτι om. B.C.
— γράφουσι ante καθ' B., post αὐτὸν A.
— εἰς αὐτὸν om. B.C. Ald.
3. ἐπεγράφη] ἐπιγράφει A.
5. Αἰσχίνης] p. 68, 36. 71, 2.
6. λ' vel τριάκοντα libri. ὀγδοήκοντα apud Strabonem 9. p. 418.
8. Ἰσοκράτης] p. 72 d.
9. Κισθήνης] κισθήνην A.
10. Post ΚΙΤΤΟΦΟ'ΡΟΣ lacuna in A.P.Q., expleta in P. ab alia manu verbis ἔνιοι διὰ δύω σσ γράφουσι.
— μετὰ τοῦ σ additum ex Epitome. In Ald. est κιττοφόρος. ἔνιοι διὰ δύο σσ γράφουσι κισσοφόρος. τὰς γὰρ λεγομένας κίσσας etc.
— κιστοφόρος O. et Epitome. κιστοφόρον A.B.C.P.Q. κισθοφόρον G. κισσοφόρος Ald.
11. εἶναι] ἐν αἷς B.C.G.
— ταῖν θεαῖν] τῶν θεῶν B.

12. ΚΛΙΜΑ'ΖΗΙ Bekkerus pro κλιμάζει (κλιματίζει B.)
— Αἰσχίνῃ Valesius. Libri αἰσχίνης (αἰσχί^ν C.)
13. δεινίου C. Ceteri δινίου. De loco Dinarchi alia est glossa Photio Suidæque communis s. v. κλιμακίζειν, ubi Dinarchi verba " οὗτος " κλιμακίζει τοὺς νόμους " explicantur οἷον παράγει καὶ διαστρέφει, ἴσως ἀπὸ τῆς κλίμακος εἰρημένου τοῦ ὀνόματος, ἥτις οὖσα ὄργανον βασανιστικὸν διαστρέφει τὰ σώματα τῶν βασανιζομένων. " Apparet in Dinarchi libris " κλιμάζῃ (vel κλημάζῃ, nam sic " Harpocrationem certe scribere " voluisse ordo literarum docet) " scriptum fuisse. Quod cum cor- " ruptum esse intelligerent, alii " βλιμάζῃ alii κλιμακίζῃ substitui " voluerunt. Neque de sensu du-

" νόμους" ἀντὶ τοῦ παρακλίνῃ καὶ παρατρέπῃ. μήποτε δὲ δεῖ γράφειν ΒΛΙΜΑΖΗΙ, ἵν' ᾖ οἷον θλίβῃ καὶ βιάζηται.

Κληροῦχοι: Δημοσθένης ἐν η' Φιλιππικῶν. κληροῦχοι ἐκαλοῦντο οὓς Ἀθηναῖοι ἔπεμπον ἐπὶ τὰς πόλεις ἃς ἐλάμβανον, κλήρους ἑκάστοις διανεμοῦντες. Ἰσοκράτης Πανηγυρικῷ " ὑπὲρ ὧν προσήκει τοὺς εὖ " φρονοῦντας μεγάλην χάριν ἔχειν πολὺ μᾶλλον ἢ τὰς κληρουχίας " ἡμῖν ὀνειδίζειν, ἃς ἡμεῖς εἰς τὰς ἐρημουμένας τῶν πόλεων φυλακῆς " ἕνεκα τῶν χωρίων, ἀλλ' οὐ διὰ πλεονεξίαν ἐξεπέμπομεν." ἐν δὲ τῷ περὶ τῶν συμμοριῶν Δημοσθένης κληρουχικὰ ἂν λέγοι τὰ τῶν ἐκπεμφθέντων εἰς ἑτέραν χώραν ἡντιναδήποτε κατὰ κληρουχίαν· πῶς γὰρ οἷόν τε τὸν μὴ ἐπιδημοῦντα Ἀθήνησι τριηραρχεῖν;

Κλῆσις: ἡ πρόσκλησις, τουτέστι παραγγελία εἰς κρίσιν· Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. ὅτι μέντοι καὶ προσκλήσεις ἔλεγον ὁ αὐτὸς ἐν τῷ περὶ Ἁγνίου κλήρου δηλοῖ.

Κλητῆρες καὶ κλητεύειν: κλητῆρες μὲν οἱ ἄνδρες δι' ὧν εἰς τὰς δίκας προσκαλοῦνται οἱ δικαζόμενοί τισιν· ἔδει γὰρ παρεῖναί τινας ὥσπερ μάρτυρας τῆς προσκλήσεως· Ἰσαῖος ἐν τῷ πρὸς Νεοκλέα

variant libri Suidæ.) μήποτε δὲ (δὲ om. duo codd. Suidæ) δεῖ γράφειν βλημάζειν (βλιμάζειν Phot., litera ι a correctore deleta; βλιμάζει vel κλιμάζει Suidæ codices.) ἀντὶ τοῦ θλίβει (θλίβειν Phot.) καὶ βιάζεται :—

3. ΚΛΗΡΟΥ'ΧΟΙ. (Hoc lemma om. Phot.) κληροῦχοι ἐκαλοῦντο—διανεμοῦντας (διανέμοντας Phot.) οὕτως Ἰσοκράτης ἐν (τῷ add. Suidas) Πανηγυρικῷ. Δημοσθένης δὲ ἐν τῷ περὶ τῶν συμμοριῶν κληρουχικὰ ἂν λέγοι—πῶς γάρ; οὐ γὰρ οἷόν τε—τριηράρχην (τριηραρχεῖν Suidas et Photii codex a correctore.) :— 12. ΚΛΗ'ΣΙΣ (κλήσις T.) ἡ πρόκλησις (κλίσις ἡ πρόσκλισις Phot. qui πρόσκλησις a correctore. κλίσις ἡ πρόκλισις Suidas.) παραγγελία εἰς κρίσιν. οὕτω Δημοσθένης :— 15. κλητῆρες μὲν οἱ] κλητῆρες οἱ (καὶ κλητῆρες οἱ Phot.) 16. προκαλοῦνται 17. προκλήσεως. κλητεῦσαι δέ ἐστιν τὸ—Ἰσαῖος. λέγεται

" bitari potest. Huic vero κλιμακίζῃ " magis videtur convenire quam " βλιμάζῃ." SAUPP. Fragm. p. 329.

1. ΒΛΙΜΑ'ΖΗΙ Blancardus. βλιμάζει A. Ald. βλιμάζειν B.C.N.

— θλίβῃ καὶ βιάζηται N. Ceteri θλίβει καὶ βιάζεται.

3. Δημοσθένης] p. 91, 15.

— ἐν η' Φιλιππικῶν] ἐν η' φιλιππικῷ B.C. ἐν φιλιππικοῖς A.

4. ἑκάστοις] ἕκαστοι B.C.

— διανεμοῦντες] διανεμοῦντας B.C. Ald.

5. Ἰσοκράτης] p. 63 a.

7. εἰς om. B.C.

9. Δημοσθένης] p. 182, 16.

12. πρόσκλησις Maussacus pro πρόκλησις.

— Δημοσθένης] p. 640, 25.

14. ὁ αὐτὸς] p. 1054, 21. 25.

— δηλοῖ] φησι C. φησὶ δῆλον B.

15. μὲν om. B.C.

16. προσκαλοῦνται—προσκλήσεως Ald. προκαλοῦνται—προκλήσεως codices.

— δικαζόμενοι] διαδικαζόμενοι A. B. Ald.

— τισιν] εἰσιν B.C.

περὶ χωρίου. πολὺ δ' ἐστὶν ὅλως τοὔνομα παρά τε τοῖς ῥήτορσι καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. ΚΛΗΤΕΥ͂ΣΑΙ δ' ἐστὶ τὸ κλητῆρα γενέσθαι, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Κλεομέδοντος. λέγεται δὲ κλητεύεσθαι καὶ ἐκκλητεύεσθαι ἐπὶ τῶν μαρτύρων, ὅταν μὴ ὑπακούωσι πρὸς τὴν μαρτυρίαν ἐν τοῖς δικαστηρίοις, καὶ ἔστιν ἐπιτίμιον κατ' αὐτῶν δραχμαὶ χίλιαι, ὡς Ἰσαῖος ἐν τῷ ὑπὲρ Πύθωνος ἀποστασίου.

Κοβαλεία: Δείναρχος ἐν τῇ κατὰ Πυθέου εἰσαγγελίᾳ. κοβαλεία ἐλέγετο ἡ προσποιητὴ μετ' ἀπάτης παιδιά, καὶ κόβαλος ὁ ταύτῃ χρώμενος. ἔοικε δὲ συνώνυμον τῷ βωμολόχῳ· Φιλόχορος β' Ἀτθίδος "οὐ γὰρ ὥσπερ ἔνιοι λέγουσι, βωμολόχον τινὰ καὶ κόβαλον "γίνεσθαι νομιστέον τὸν Διόνυσον." Ἀριστοτέλης δὲ ἐν η' ζῴων ἱστορίας τὸν ὦτόν φησι κόβαλον καὶ μιμητὴν ὄντα ἀντορχούμενον ἁλίσκεσθαι.

Κοινὸν γραμματεῖον καὶ ληξιαρχικόν: τὸ μὲν κοινὸν γραμματεῖόν ἐστιν εἰς ὃ ἐνεγράφοντο οἱ εἰσαγόμενοι εἰς τοὺς φράτορας καὶ γεννήτας, τὸ δὲ ληξιαρχικὸν εἰς ὃ ἐνεγράφοντο οἱ εἰς τοὺς δήμους ἐγγραφόμενοι, ὡς δεικνύουσιν ἄλλοι τε ῥήτορες καὶ Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλήρου.

Κοινωνικῶν: Δημοσθένης ἐν τῷ περὶ τῶν συμμοριῶν. κοινω-

4. ὑπακούσωσι—ἐν τῷ δικαστηρίῳ 7. ΚΟΒΑΛΕΙ'Α (κοβάλεια T.). οὕτως ἐλέγετο ἡ προσποίητος (πρὸς ποιητὸς T.) 9. β'] δευτέρῳ (β' Phot.) 10. ὥσπερ om. κόβαλον] κόβολον (κολοβὸν Phot.) 11. γίνεσθαι] γενέσθαι ἐν η'] ἐν ἑβδόμῳ (ἐν ζ' Phot. ἐν δευτέρῳ Suidas.) 12. Glossæ κοινὸν γραμματεῖον usque ad Κότυς apud Photium incidunt in lacunam. 14. γραμματεῖόν ἐστιν om. 13. οἱ εἰσαγόμενοι om. (solum οἱ habet Suidas) 16. γεννήτας] γεννητάς οἱ εἰς] οἱ om. 17. ἐγγραφόμενοι:— 19. ΚΟΙΝΩΝΙΚΟ'Ν.

3. δὲ om. Ald., καὶ ἐκκλητεύεσθαι om. C.

6. ὑπὲρ Πύθωνος ἀποστασίου] Recte fortasse πρὸς Πύθωνα ἀ. s. v. διαμαρτυρία, ubi vide quæ diximus.

9. ἔοικε δὲ om. B.C.

— β'] δευτέρῳ A.B. ἐν δευτέρῳ Ald.

11. δὲ om. B.C.

— η' (c. 12. p. 597, 23. ed. Bekk.) Maussacus. ἐν ζ' A.B. ἐν ζ[o] C. ἐν ἑβδόμῳ Ald.

13. Post hanc gl. Maussacus posuit quæ de κοβάλοις leguntur in codicibus infra post Κοτύλαιον ὄρος, quæ interpolatori deberi suo loco dicetur.

14. τὸ—εἰσαγόμενοι om. C.

16. γεννήτας] γεννητὰς libri. Correctum ex Epitome, quæ tamen falso accentu γεννητάς.

17. Ἰσαῖος] p. 66, 14.

— περὶ τοῦ om. C.

18. κλήρου Maussacus. Libri κλήρῳ.

19. Δημοσθένης] p. 182, 16. ubi Harpocratio κοινωνικῶν genere masculino dictum accepit. Est vero generis neutrius, intellecto χρημάτων: quod monuit Boeckh. Œc. vol. 1. p. 703.

νικοὺς ἂν λέγοι τάχα μὲν τοὺς ἀνέμητον οὐσίαν ἔχοντας ἀδελφούς, ὧν ὁ μὲν πατὴρ ἐδύνατο λειτουργεῖν, οἱ δὲ κληρονόμοι τῶν ἐκείνου καθ' ἕνα τριηραρχεῖν οὐκ ἐξήρκουν· τάχα δὲ καὶ περὶ τῶν ἑκούσιον κοινωνίαν συνθεμένων ἐμπορίας ἤ τινος ἄλλου, ὧν ἕκαστος οὐκ εἶχε τὸ ὅλον τίμημα τῆς κοινῆς οὐσίας.

ΚΟΙΡΩΝΙΔΑΙ: *ἔστι Λυκούργῳ λόγος οὕτως ἐπιγραφόμενος* '*Κροκωνιδῶν διαδικασία πρὸς Κοιρωνίδας,*' *ὃν ἔνιοι Φιλίνου νομίζουσιν· ἔστι δὲ γένος οἱ Κοιρωνίδαι, περὶ ὧν Ἴστρος ἐν τῇ συναγωγῇ τῆς Ἀτθίδος φησίν. ὠνομασμένον δ' ἂν εἴη ἀπὸ Κοίρωνος, ὃν νόθον ἀδελφὸν εἶναί φασι τοῦ Κρόκωνος, παρ' ὃ καὶ ἐντιμοτέρους εἶναι τοὺς Κροκωνίδας. ὁ δὲ τὸν λόγον γεγραφὼς ὅστις ποτ' ἐστίν, τρισὶν ὀνόμασί φησιν αὐτοὺς προσηγορεῦσθαι· καὶ γὰρ Κοιρωνίδας καὶ Φιλιεῖς καὶ Περιθοίδας.*

ΚΟΛΛΥΤΕΥΣ: *Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου. δῆμός ἐστι τῆς Αἰγηΐδος Κολλυτός.*

ΚΟΛΩΝΕΤΑΣ: *Ὑπερείδης ἐν τῷ πρὸς Ἀπελλαῖον περὶ τοῦ θησαυροῦ. τοὺς μισθωτοὺς Κολωνέτας ὠνόμαζον, ἐπειδὴ παρὰ τῷ Κο-*

1. *ἂν λέγοι*] *λέγει* *ἔχοντας*] *νέμοντας* 3. *τριηραρχεῖν*] *τριηράρχην* *δὲ καὶ*] *δ' ἂν καὶ* Suidas. *ἑκουσίαν* 6. ΚΥΡΩΝΙΔΑΙ. *γένος ἐστὶν ὠνομασμένον ἀπὸ Κύρωνος* 10. *ἐντιμοτέρους* (*ἐντιμωτέρους* E.T. et codex Photii) *εἶναι τοὺς Κροκωνίδας τῶν Κυρωνιδῶν. τριχῇ δὲ αὐτοὺς ὀνομάζουσιν, Κυρωνίδας, Φιλιεῖς* (*φυλιεῖς* edit. veteres Suidæ) *καὶ Περιθύδας* (sic etiam Phot. et Suidas):— 14. ΚΟΛΥΤΕΥΣ (*κολυττεύς* D.). *δῆμος τῆς Αἰγηΐδος*:— 16. ΚΟΛΩΝΕΤΑΣ. *οὕτως ὠνόμαζον τοὺς μ., ἐπειδὴ περὶ τῶν κολωνῶν* (*περὶ τὸν Κολωνὸν* Suidas; *παρὰ τοὺς κολωνοὺς* Z.) *εἱστήκεσαν, ὅσον* (*ὃς*

3. *δὲ καὶ*] *δ' ἂν καὶ* B.C.N.
— *περὶ τῶν*] *τὴν* C.
6. *οὕτως*] *οὗτος* A.
8. *οἱ Κοιρωνίδαι*] *ἀμφότεροι* (*Κοίρων καὶ Κρόκων*) *δὲ ἦσαν παῖδες Τριπτολέμου* additur in gl. breviore Lex. rhet. Bekk. p. 273, 9.
9. *ὠνομασμένον δ' ἂν εἴη*] *ὠνομασμένοι δ' ἂν εἶεν* A.
10. *εἶναί φασι*] *φασιν εἶναι* B.
11. *τρισὶν ὀνόμασι* om. C.
12. *καὶ γὰρ* om. C.G. et recte fortasse. *γὰρ* om. B.
— *Φιλιεῖς*] *Φλυεῖς* post Valesium Meier. de gentil. Att. p. 47.
14. ΚΟΛΛΥΤΕΥΣ Bekkerus. Libri *κολυττεύς* (*κολυτεύς* Ald.)
14. *Αἰσχίνης*] p. 22, 26.
— *ἐν τῷ* om. A.
15. *Κολλυτός* Bekkerus. *κολυττοί* B.C.G. *κολυττός* ceteri.
16. 17. ΚΟΛΩΝΕΤΑΣ ex Epitome pro *κολωναίτας*. *Κολωνίτας* Pollux 7, 132. "Aut *Κολωνῖται* aut *Κολωνέται* "dicti fuerint necesse est. *Κολωναίτας* non habeo quomodo tuear. "Terminatio *-έτης* commendatur "analogia vocabulorum *οἰκέτης, φυλέτης*, similium." SAUPP. ad Fragm. p. 277.
16. *Ἀπελλαῖον*] *ἀπαλλαῖον* C. *ἀπαλλαῖον* B.
17. *ὠνόμαζον*] *ἐκάλουν* N.
— *τῷ Κολωνῷ*] *τὸ κολῶναι* B.C.

λωνῷ εἱστήκεσαν, ὅς ἐστι πλησίον τῆς ἀγορᾶς, ἔνθα τὸ Ἡφαιστεῖον καὶ τὸ Εὐρυσάκειόν ἐστιν· ἐκαλεῖτο δὲ ὁ Κολωνὸς οὗτος ἀγοραῖος. ἦν δὲ καὶ ἕτερος Κολωνὸς πρὸς τὸ τοῦ Ποσειδῶνος ἱερόν, ὡς Ὑπερείδης ἐν τῷ κατ' Αὐτοκλέους· οὗτος δ' ἂν εἴη ὁ τῶν ἱππέων. Φερεκράτης Πετάλῃ

οὗτος, πόθεν ἥκεις; ἐς Κολωνὸν ἱέμην,
οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων.

Δημοσθένης ἐν τοῖς Κολωνῆθέν φησι. περὶ τῶν Κολωνῶν Διόδωρός τε ὁ περιηγητὴς καὶ Φιλόχορος ἐν γ' Ἀτθίδος διεξῆλθεν.

Κομιστικὰ πλοῖα: Ὑπερείδης ἐν τῷ περὶ τῆς φυλακῆς τῶν Τυρρηνῶν. ἔοικε καλεῖσθαι κομιστικὰ πλοῖα ἐν οἷς ἐκόμιζον οἱ Τυρρηνοὶ τὰ ληφθέντα λάφυρα, ὡς αὐτὸς ὁ ῥήτωρ ὑποσημαίνει ἐν τῷ λόγῳ.

Κόμματα καὶ κυρήβια: Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τὰ μὲν κυρήβιά ἐστι τὰ πίτυρα, τὰ δὲ κόμματα ἔοικεν εἶναι μέρη τινὰ ἢ τῆς καλάμης ἢ τῶν περὶ τὸν σῖτον αὐτὸν ἐν τῷ στάχυϊ γινομένων ἢ τῶν ἀνθερίκων.

Κορδακισμός: Δημοσθένης Φιλιππικοῖς. ὁ κόρδαξ κωμικῆς ὀρ-

Suidas) ἐστὶ πλησίον τῆς ἀγορᾶς, ἔνθα τὸ Ἡφαιστεῖον καὶ τὸ Εὐρυσάκιον ἐστίν. ἐκαλεῖτο—ἱερόν. οὗτος δ'—ἱππέων:—

10. ΚΟΜΙΣΤΙΚΑ' ΠΛΟΙ͂Α. οὕτως ἐκαλεῖτο ἐν οἷς ἐκόμιζον οἱ τύραννοι—ὡς Ὑπερίδης δηλοῖ:— 14. Δείναρχος—εἰσαγγελίᾳ om. 16. εἶναι om. 17. γενομένων 18. Δ. Φιλιππικοῖς om.

1. Ἡφαιστεῖον ex Epitome pro Ἡφαίστειον. ἡφαίστιον C.

2. τὸ om. A.

— Εὐρυσάκειον] εὐρυσάκιον C.

— ἐκαλεῖτο—πρὸς τὸ τοῦ ex Epitome addita sunt. De duobus Colonis dixit Sauppius in comment. de demis urbanis p. 18.

6. ἐς Κολωνόν—] Alterius personæ verba.

— ἱέμην Meinekius. Libri ἢ μήν. ᾠχόμην est apud scriptorem Argumenti Sophoclis Œdip. Col.

8. Δημοσθένης] p. 535. et in testimonio orat. c. Neær. p. 1352. Harpocratio locum priorem potius in mente habuit, etsi hic quoque non τοῖς Κολωνῆθεν legitur, sed Φιλόστρατον τὸν Κολωνῆθεν. Fortasse igitur δὲ τὸν (δὲ τοὺς voluit Saupp. Fragm. p. 277.) scribendum pro ἐν τοῖς.

10. τῶν om. C.

11. Τυρρηνῶν—Τυρρηνοὶ Boeckh. Œc. vol. 3. p. 460. 461. Legebatur τριήρων (τριηρῶν Ald. et fortasse codices)—τύραννοι. Conf. s. v. προβόλιον, ubi recte in libris περὶ τῆς φυλακῆς τῶν Τυρρηνῶν.

12. αὐτὸς ὁ] ὁ αὐτὸς B. Conf. quæ s. v. Κηφισεύς diximus.

— τῷ] τ̄ A. λ' B.C. τῷ τριακοστῷ Ald. Numeri nota orta ex prima vocabuli λόγῳ litera.

14. κατὰ om. B.C.

15. μὲν om. B.

17. ἀνθερίκων] ἀθέρων N.

18. Δημοσθένης] p. 23, 13.

χήσεώς ἐστιν εἶδος, καθάπερ φησὶν Ἀριστόξενος ἐν τῷ περὶ τῆς τραγικῆς ὀρχήσεως. ἔστι δὲ τοὔνομα καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, ὡς παρὰ Νικοφῶντι.

Κοροπλάθοι: Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. τοὺς ἐκ πηλοῦ ἢ κηροῦ ἤ τινος τοιαύτης ὕλης πλάττοντας κόρας ἢ κόρους οὕτως ὠνόμαζον.

Κορσιαί: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. πόλις ἐστὶ τῆς Βοιωτίας Κορσιαὶ, ὡς Θεόπομπος ἐν τῇ λ'.

Κοτύλαιον ὄρος: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. ἔοικε τὸ ὄρος τῆς Εὐβοίας εἶναι· Ἀρχέμαχος γοῦν ἐν γ' Εὐβοϊκῶν φησὶ "Κότυλος μὲν οὖν φαίνεται κατασχεῖν τὸ ὄρος τὸ νῦν ἀπ' ἐκείνου "Κοτύλαιον καλούμενον."

Κότυς: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. οὗτος ἦρξε τῆς Θρᾴκης ἔτη κδ', διῆγε δὲ τὰ μὲν πρῶτα ἐν τρυφαῖς καὶ ἡδυπαθείαις, ἔπειτα αὔξησιν λαμβανούσης αὐτῷ τῆς εὐπραγίας εἰς ὠμότητα καὶ ὀργὴν ἐξηνέχθη, ὡς καὶ τὴν γυναῖκα, ἐξ ἧς αὐτῷ ἦν τέκνα, διέκοψε μέσην ταῖς αὐτοῦ χερσὶν, ἀπὸ τῶν αἰδοίων ἀρξάμενος.

1. εἶδος:— 4. ΚΟΡΟΠΛΑ'ΘΟΣ. κοροπλάθους λέγουσιν τοὺς ἐκ πηλοῦ τινὸς ἢ κηροῦ ἢ τοιαύτης τινὸς ὕλης—κόρους ἢ κόρας (κόρας ἢ κούρους Suidas):— 7. ΚΟΡΣΙ'ΑΙ (Κορσιαί Suidas). πόλις Βοιωτίας:— 9. ΚΟΤΥ'ΛΑΙΟΝ "ΟΡΟΣ. τὸ ἐν Εὐβοίᾳ ἀπὸ Κοτύλου καλούμενον τοῦ κατασχόντος αὐτό:— 13. ΚΟ'ΤΥΣ. οὗτος ἄρξας Θρᾴκης ἔτη κδ' τὰ μὲν πρῶτα—ἡδυπαθείαις ἦν, αὔξησιν δὲ λαμβανούσης αὐτοῦ τῆς 16. διακόψαι 17. ταῖς αὐτοῦ χερσὶν om. ἀρξάμενος] ἀρξάμενον:—

2. δὲ om. A. Ald.
4. Ἰσοκράτης] p. 310 b.
5. ὕλης] ἄλλης A.
— κόρους] κούρους A. Ald.
— οὕτως] κοροπλάθους C.
7. 8. ΚΟΡΣΙΑΙ'] Scribebatur Κορσίαι. Nomen oxytonum esse ostendi ad locum Demosthenis p. 385, 5. Recte apud Suidam Epitomes verba repetentem.
7. τῆς om. C.
8. τῇ om. A.
9. Αἰσχίνης] p. 66, 5.
10. Εὐβοϊκῶν Bekkerus. Libri εὐβοεικῶν. Gravi corruptela Ἀντίμαχος ἐν Ἀρτέμιδος β' apud Steph. Byz. s. v. Κοτύλαιον, quod ex Harpocratione corrigendum esse vidit Duebnerus.

12. Post hanc glossam sequitur in codicibus et Ald. κόβαλοι, δαίμονές εἰσί τινες σκληροὶ περὶ τὸν Διόνυσον: quæ Maussacus supra posuit post ea quæ de v. κοβαλεία tradidit Harpocratio. Recte hæc verba absunt ab Epitome. Nam illata sunt ab interpolatore ex schol. Aristoph. Pl. 279. Eidem debentur quæ adhuc legebantur s. v. μόθων.
13. ΚΟ'ΤΥΣ] κότασυς B. κότασις C. In N. est κότυς βασιλεὺς Θρᾴκης ὁ τὴν γαμετὴν διακόψας μέσην.
— Δημοσθένης] p. 623, 8. et alibi.
— Δημοσθένης om. B. Δημοσθένης —κδ' om. C.

Κραταλλίδαι: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Δίδυμός φησι δεῖν γράφεσθαι Κραυγαλλίδαι· οὕτω γὰρ λέγεσθαι τὴν ἐν Φωκεῦσι πλησίον Κίρρας χώραν Κραυγάλλιον, ὡς καὶ Ξεναγόρας ἐν δ' Χρόνων ἱστορεῖ.

Κρᾶστις: Δείναρχος ἐν τῷ πρὸς Λυσικράτην. κραστις ἐστὶν ἡ πόα, ὡς καὶ Ἀριστοφάνης.

Κριθώτην: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. Κριθώτη μία πόλις τῶν ἐν Χερρονήσῳ, καθά φησιν Ἑλλάνικος ἐν α' Τρωϊκῶν. Ἔφορος δ' ἐν τῇ δ' φησὶν αὐτὴν κατοικισθῆναι ὑπὸ Ἀθηναίων τῶν μετὰ Μιλτιάδου ἐκεῖ παραγενομένων.

Κριωεύς: Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον. δῆμός ἐστι τῆς Ἀντιοχίδος Κριώα, ὥς φησι Διόδωρος ἐν τῷ περὶ τῶν δήμων.

Κρώβυλος: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. Ἡγήσιππος μέν ἐστιν ὁ Κρώβυλος ἐπικαλούμενος, κυρίως δὲ εἶδός τι ἐμπλοκῆς ἐστὶν ὁ κρώβυλος, καθά φησι Θουκυδίδης ἐν α'.

Κτησίου Διός: Ὑπερίδης ἐν τῷ πρὸς Ἀπελλαῖον. κτήσιον Δία ἐν τοῖς ταμιείοις ἱδρύοντο· Μένανδρος Ψευδηρακλεῖ

1. ΚΡΑΥΑΛΛΙ'ΔΑΙ. ἢ Κραγαλλίδαι, ἡ ἐν Φωκεῦσι πλησίον Κίρρας χώρα :— 5. ΚΡΑ'ΣΤΗΣ (sic etiam Suidæ codex A.) ἡ πόα :— Gl. om. Photius in lacuna quæ est inter κοικύλλειν et κρατηρίζων. 7. ΚΡΙΘΟΤΗ' (κριθότη codex Photii; Κριθωτὴ Suidas). πόλις τῶν ἐν Χερρονήσῳ κατοικισθεῖσα ὑπὸ Ἀθηναίων τῶν μετὰ Μ. ἐκεῖ π. :— 11. ΚΡΙΩΕΥ'Σ. δῆμος τῆς Ἀντιοχίδος Κριώα :— 13. ΚΡΩ'ΒΥΛΟΣ. κυρίως τι (τι om. Phot. et Suidas) εἶδος ἐμπλοκῆς ἐστιν κατὰ Θουκυδίδην :— 16. ΚΤΗΣΙ'ΟΥ ΔΙΟ'Σ. τὸν κτήσιον Δία—ταμιείοις ἱδρύοντο :—

1. ΚΡΑΥΑΛΛΙ'ΔΑΙ] κραυαλίδαι B. C.G.

— Αἰσχίνης] p. 68, 38. ubi nunc legitur Κιρραῖοι καὶ Ἀκραγαλλίδαι.

2. γράφεσθαι] γράφειν A., superscripto εσθαι.

— Κραυγαλλίδαι] κραυγαλίδαι B. C.G.

3. Κραυγάλλιον] κραυγάλιον C.G.

— δ'] τετάρτῳ Ald. τετάρτη C.

4. Χρόνων] κωμῶν O.

5. ΚΡΑ'ΣΤΙΣ] Scribebatur κρᾶστις utrobique.

— Λυσικράτην] λυσικράτους A. λυσιστράτην B., quemadmodum Callicratis nomen apud Harpocrationem aliquoties in Καλλιστράτης depravatum in codicibus.

6. Ἀριστοφάνης] Fragm. 632.

7. ΚΡΙΘΩ'ΤΗΝ — Κριθώτη] Scribebatur Κριθωτήν—Κριθωτή, quem accentum falsum esse ostendi in annotatione ad locum Demosthenis p. 672, 20.

8. α' (πρώτῃ Ald.) Τρωϊκῶν] πρώτῳ τρωϊκῆς B.

11. Δημοσθένης] p. 1042, 5.

13. Αἰσχίνης] p. 70, 15.

14. ἐπικαλούμενος] ὀνομαζόμενος B. C.G.

— κυρίως—κρώβυλος om. B.C.

15. ἐν (τῇ addit C. et Ald.) α'] c. 6.

16. Ἀπελλαῖον] ἀπαλαῖον B.C.

17. ταμιείοις Salmas. pro ταμείοις.

— ἱδρύοντο N. et Epitome. Ceteri ἵδρυντο.

νῦν δ' εἰς γυναικωνῖτιν εἰσιόνθ' ὅταν
ἴδω παράσιτον, τὸν δὲ Δία τὸν κτήσιον
ἔχοντα τὸ ταμιεῖον οὐ κεκλεισμένον,
ἀλλ' εἰστρέχοντα πορνίδια.

Κτησιφῶν: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου "τὸ μὲν γὰρ ἐξ "ἀρχῆς, ἄχρι τοῦ λόγου τυχεῖν Φίλιππον ὑπὲρ τῆς εἰρήνης, Κτησι-"φῶν καὶ Ἀριστόδημος τὴν πρώτην ἔφερον τοῦ φενακισμοῦ." εἷς τῶν ι' πρέσβεων τῶν μετὰ Δημοσθένους καὶ Αἰσχίνου πρεσβευσάντων ἦν οὗτος· ἑκάτερος γοῦν τῶν ῥητόρων ἐν τῷ περὶ τῆς πρεσβείας πολλάκις αὐτοῦ μνημονεύει. ἕτερος δ' ἂν εἴη τις ὁ τὸ ψήφισμα τὸ περὶ τοῦ στεφάνου γεγραφὼς Δημοσθένει, καθ' οὗ λόγος ἐστὶ τῷ Αἰσχίνῃ ὁ κατὰ Κτησιφῶντος.

Κυδαθηναιεύς: Ὑπερείδης ἐν τῷ περὶ τοῦ Ἱππέως κλήρου. Κυδαθήναιον δῆμός ἐστι φυλῆς τῆς Πανδιονίδος, ἀφ' οὗ ὁ δημότης Κυδαθηναιεύς.

Κυδαντίδης: Ὑπερείδης ἐν τῷ πρὸς Πολύευκτον. δῆμός ἐστι τῆς Αἰγηΐδος Κυδαντίδαι.

Κυθήριος: Δημοσθένης ἐν τῷ πρὸς Φαίνιππον. Κύθηρος δῆμος τῆς Πανδιονίδος, ἀφ' οὗ ὁ δημότης λέγεται Κυθήριος.

5. Δημοσθένης—φενακισμοῦ om. 8. ἦν οὗτος—μνημονεύει om. 10. τις om. 11. λόγος] καὶ ὁ (ὁ om. Phot. et Suidas) λόγος Αἰσχίνῃ :— 13. Ὑπερίδης—Κυδαθήναιον om. 14. Πανδιονίδος :— Post Πανδιονίδος Phot. addit ἢ ἀπὸ δήμου τῆς Ἀττικῆς. In Epitome vero nova sequitur glossa, qua caret Photius, Κυδαθηναίων ἀφ' οὗ ὁ δημότης Κυδαθηνεεύς :— 16. ΚΥΔΑΝΤΊΔΗΣ (Κυδαντίδαι Phot.). δῆμος τῆς Αἰγηΐδος (φυλῆς addit Phot.) Κυδαντίδαι (Κυδαντίδαι om. Phot.):— 18. ΚΥΘΗΡΙΟΣ. Κύθηρον (Κυθηρὸν Phot.) δῆμος τῆς Πανδιονίδος :—

2. ἴδω] ἰδὼν A.C.G.

3. ταμιεῖον] Hic quoque libri ταμεῖον.

5. Δημοσθένους (διογένης B.C.)] p. 371, 15.

8. τῶν ante μετὰ om. B.C.

9. τῆς om. B.C.

— πρεσβείας] παραπρεσβείας Ald.

13—17. om. B.C.

13. περὶ] Libri ὑπέρ. Restitui περὶ ex duabus aliis glossis, παρακαταβολή et τριακάς.

14. Κυδαθήναιον Blancardus pro Κιδαθηναίων.

— τῆς om. Ald.

16. ΚΥΔΑΝΤΊΔΗΣ—Πολυεύκτου] Polyeuctus Cydantides memoratur ab Dinarcho p. 27, 26. et in titulo navali a Boeckhio edito p. 249. ut monet Sauppius Fragm. p. 299.

18. Δημοσθένης] p. 1040, 13. ubi est adverbium in libris Κύθηράδε scriptum, vitiose pro Κύθηρόνδε, quod ego restitui, forma ab Stephano Byz. memorata. Nam nomen pagi non Κύθηρα est, sed Κύθηρος.

— κύθηρος B.C.G. Legebatur Κύθηρον.

Κύθνιοι: Δημοσθένης ἐν τῷ περὶ συντάξεως. Κύθνος μία τῶν Κυκλάδων νήσων, ὡς Ἀριστοτέλης ἐν τῇ Κυθνίων πολιτείᾳ.

Κύκλοι: Δείναρχος ἐν τῷ κατὰ Καλλαίσχρου. κύκλοι ἐκαλοῦντο οἱ τόποι ἐν οἷς ἐπωλοῦντό τινες· ὠνομάσθησαν δὲ ἀπὸ τοῦ κύκλῳ περιεστάναι τοὺς πωλουμένους. Μένανδρος Ἐφεσίῳ

ἐγὼ μὲν ἤδη μοι δοκῶ νὴ τοὺς θεοὺς
ἐν τοῖς κύκλοις ἐμαυτὸν ἐκδεδυκότα
ὁρᾶν, κύκλῳ τρέχοντα καὶ πωλούμενον.

Κυμβίον: Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. εἶδός τι ἐκπώματος τὸ κυμβίον. φησὶ δὲ Δίδυμος ἐπίμηκες αὐτὸ εἶναι καὶ στενὸν καὶ τῷ σχήματι παρόμοιον τῷ πλοίῳ ὃ καλεῖται κυμβίον.

Κυννίδαι: Λυκοῦργος ἐν τῇ διαδικασίᾳ Κροκωνιδῶν πρὸς Κοιρωνίδας. γένος ἐστὶ παρ' Ἀθηναίοις οἱ Κυννίδαι.

Κυνόσαργες: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων τὸ Κυνόσαργες.

Κυπρόθεμις: ὄνομα κύριον. Δημοσθένης ἐν τῷ περὶ τῆς τῶν Ῥοδίων ἐλευθερίας "Σάμον δὲ φρουρουμένην ὑπὸ Κυπροθέμιδος, ὃν "κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος."

1. ΚΥΘΝΙΟΙ. *Κύθνος μία τῶν* Κυκλάδων:— 3. *Δείναρχος*—Καλλαίσχρου om. 5. *πωλουμένους*:— 9. ΚΥΜΒΙΟΝ. *εἶδός τι ἐκπύματος ἐπίμηκες καὶ στενὸν—κύμβιον* (*κύμβη* Phot.):— 12. ΚΥΝΝΙΔΑΙ (*Κυνίδαι* Suidas). *γένος τι παρὰ* (*παρὰ* om. Phot.) *Ἀθηναίοις* (*Ἀθήνησιν* Photius) *οὕτω καλούμενον*:— 14. ΚΥΝΟΣΑΡΓΕΣ. *ἕν τι τῶν* 15. ΚΥΠΡΟΘΕΜΙΣ. *ὄνομα κύριον, ὃν κατέστησεν* Τιγράνης *φρούραρχον Σάμου, βασιλέως ὕπαρχον* (*ὕπαρχος* Suidas):—

1. ΚΥΘΝΙΟΙ] *κύθνειοι* C. *κύθνιος* A. — *Δημοσθένης*] p. 176.
2. *νήσων*] *νῆσος* B.G. — *Κυθνίων*] *κυθνείων* B.C. *κυθνέων* A.
4. *περιεστάναι*] *προεστάναι* B. *παρεστάναι* G.
6. *μὲν* N. Ceteri *μὲν οὖν*. *οὖν* deleverat Casaub. ad Suetonii August. c. 69.
7. *ἐκδεδυκότα*] *ἐνδεδυκότα* A. Ald.
9. ΚΥΜΒΙΟΝ Bekkerus. *κύμβιον* Ald. (et fortasse codices) et Epitome hic et infra. Paroxytonum agnoscit Eustath. ad Homer. p. 233, 44. 854, 28. In libris interdum *κυμβεῖον* scriptum: de quo dictum in Thesauro vol. 4. p. 2107.
9. *Δημοσθένης*] p. 565 extr.
10. *δὲ* om. B. et *αὐτὸ* ponit post *στενόν*.
12. 13. ΚΥΝΝΙΔΑΙ] Sic libri, non *Κυνίδαι*, quod ex Suida intulit Maussacus. Vide aliorum grammaticorum locos in Thesauro vol. 4. p. 2120.
12. *Κροκωνιδῶν* Blancardus. *κροκωνιαδῶν* A. *κροκωνιάδων* B.C. Ald. — *Κοιρωνίδας*] *κορωνίδας* B.C. Ald.
14. *Δημοσθένης*] p. 736, 6.
16—18. om. C.
16. *Δημοσθένης* (p. 193, 4.)—*Ῥοδίων* addidit Maussacus. In A.B. Ald. est lacuna.

Κύπασσις: Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου καὶ Πυθαγόρου, εἰ γνήσιος. οἱ γλωσσογράφοι χιτῶνος εἶδός φασιν αὐτὸν εἶναι τὸν κύπασσιν, οἱ μὲν γυναικείου, οἱ δὲ ἀνδρείου. μέμνηται δ' αὐτοῦ Ἱππῶναξ τε καὶ Ἑκαταῖος ἐν περιόδῳ Εὐρώπης, λέγων "Κίσσιοι δὲ ἐσθῆτα "φορέουσι κυπάσσεις Περσικούς," καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς.

Κύρβεις: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. κύρβεις φησὶν Ἀπολλόδωρος ἐν τοῖς περὶ θεῶν ἔχειν ἐγγεγραμμένους τοὺς νόμους, εἶναι δ' αὐτοὺς λίθους ὀρθοὺς ἑστῶτας, οὓς ἀπὸ μὲν τῆς στάσεως στήλας, ἀπὸ δὲ τῆς εἰς ὕψος ἀνατάσεως διὰ τὸ κεκορυφῶσθαι κύρβεις ἐκάλουν, ὥσπερ καὶ κυρβασίαν τὴν ἐπὶ τῆς κεφαλῆς τιθεμένην. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶν "ἀναγράψαντες δὲ "τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείᾳ."

Κύρειον: Ἰσοκράτης Πανηγυρικῷ. Κύρειον στράτευμα τὸ μετὰ Κύρου συναναβεβηκὸς, ὅτε ἐστράτευσεν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην· οὗ μετεῖχε καὶ Ξενοφῶν.

1. ΚΥΠΑΣΤΙΣ (*κύπασσις* Suidas). *οἱ γλωσσογράφοι χιτῶνος εἶδός φασι τὸν κύπασιν* (*κύπασσιν* Suidas) *οἱ μὲν γυναικείου, οἱ δὲ ἀνδρείου* :— Photius nihil præter *κύπασσις* (codex *κυπάσεις*) *ἔνδυμα γυναικεῖον*. 7. ΚΥΡΒΕΙΣ. *τοὺς κύρβεις φησὶν Ἀπολλόδωρος ἐγγεγραμμένους ἔχειν τοὺς νόμους εἶναι* :— *λίθους ὀρθοὺς* (apud Phot. et Suidam, *ἔχειν τοὺς νόμους. εἶναι δὲ* (*δὲ* om. Phot.) *λίθους ὀρθοὺς*—) 9. *οὓς*] *ὡς* 10. *στήλας καλεῖσθαι, ἀπὸ δὲ τῆς εἰς ὕψος παραστάσεως διὰ* *κύρβεις*] *τύρβεις* (sic etiam Photii codex a pr. m.) 11. *ἐκάλουν* om. *τεθειμένην. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Ἀ. π.* 12. *ἀναγράψαντας* (*ἀναγράψαντες* Phot. et Suidæ libri meliores) 13. *τῇ βασιλίδι* :— 14. ΚΥΡΙΟΝ. *Κυρεῖον* (*Κύρειον* Suidas. *κύριον* bis codex Photii a pr. m., *κύρειον* ab secunda) *στράτευμα Ἰσοκράτης ἐν τῷ Π. φησιν. ἔστιν δὲ ὃ μετὰ Κύρου ἀναβέβηκεν* (*δὲ τὸ μετὰ κύρου ἀναβεβηκέναι* codex Photii. *δὲ τὸ μετὰ Κύρον ἀναβεβηκὸς* Suidas) *ἐπὶ Ἀρταξέρξην* (*Ξέρξην* Suidas) *τὸν ἀδελφὸν αὐτοῦ* :—

1. ΚΥΠΑΣΣΙΣ] *κύπαστις* B.C.G. et infra *κύπαστιν* et *κυπάστεις*.

2. *γλωσσογράφοι*] *γλωσσοφάγοι* C.

4. *Κίσσιοι*] *κυσσιοι* A. *κύσιοι* B.

5. *Περσικούς*] *περσικάς* B. Ald. *περισσάς* C.

— *Ἀριστοφάνης*] Fragm. 438.

9. *ὀρθοὺς ἑστῶτας*] *ἑστῶτας ὀρθὰς* A.

— *οὓς*] Libri *ὡς*. Correctum ex schol. Apoll. Rh. 4, 280.

10. *ἀνατάσεως* Heynius ad Apollod. vol. 1. p. 396. Libri *ἀναστάσεως*. *παραστάσεως* Epitome, id est *παρατάσεως*.

10. *κεκορυφῶσθαι*] *κεκορυφοῦσθαι* A.

14. ΚΥΡΕΙΟΝ] Scribebatur *Κυρεῖον* utrobique.

— *Ἰσοκράτης*] p. 70 e. ubi libri *Κύρου στρατεύματι*, ego *Κυρείῳ στρατεύματι* restitui. *Κυρείοις στρατιώταις* dixit Libanius vol. 1. p. 548.

ΚΥΡΗΒΙΩΝ: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου. ὅτι δ' ἐπώνυμόν ἐστι τοῦτο Ἐπικράτους τοῦ Αἰσχίνου κηδεστοῦ καὶ ἐν ἄλλοις δεδήλωται.

ΚΥΡΙΑ ΕΚΚΛΗΣΙΑ: Ὑπερείδης ἐν τῷ κατὰ Δημέου ξενίας, εἰ γνήσιος. τίνες δὲ αἱ κύριαι ἐκκλησίαι Ἀριστοτέλης δεδήλωκεν ἐν τῇ Ἀθηναίων πολιτείᾳ, λέγων τοὺς πρυτάνεις συνάγειν τὴν βουλὴν καὶ τὸν δῆμον, τὴν μὲν βουλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. "προγράφουσι δέ" φησι "καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν οἳ δοκοῦσι "μὴ καλῶς ἄρχειν, καὶ περὶ φυλακῆς δὲ τῆς χώρας.". καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαί φησι, καὶ τὰ ἑξῆς.

ΚΥΡΣΙΛΟΝ: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος "τὸν μὲν ταῦτα "συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δὲ ὑπα- "κούειν ἀποφηνάμενον Κυρσίλον καταλιθώσαντες."

ΚΩΔΕΙΑ: τὴν τῆς μήκωνος κεφαλὴν οὕτω καλοῦσιν· Ὑπερείδης καὶ Ἀριστοφάνης Γεωργοῖς "ἀγαθήν γε κώδειαν."

ΚΩΛΙΑΣ: Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας, εἰ γνήσιος. ἐπιθα-

1. ΚΥΡΗΒΙΩΝ. Δ.—Αἰσχίνου (Δ.—Αἰσχίνου om. Suidas). ἐπώνυμόν ἐστιν Ἐ.—κηδεστοῦ :— 4. ΚΥΡΙΑ. ἐκκλησίας οἱ π. (κυρία ἡ ἐκκλησία. οἱ π. D.) συνῆγον τὴν βουλὴν καὶ τὸν δῆμον. ἢ τὴν βουλὴν ὁσημέραι 8. πρυτανίας (-είας Phot. et Suidas) ἑκάστης. ἐν δὲ τῇ κυρίᾳ ἐκκλησίᾳ ἔδει τὰς ἀρχὰς ἀ. οἳ ἐδόκουν μὴ κ. ἄ. καὶ περὶ τῆς φυλακῆς—ἡμέρᾳ οἱ βουλόμενοι ἐποιοῦντο :— 13. ΚΥΡΘΙΛΟΣ (Κυρσίλος Suidas. Κυρσίλος Phot., litera σ in litura a correctore, qui etiam accentum addidit. Fuit igitur Κυρθίλος, quod literarum series postulat. Nam legitur inter Κυρήνη et κυρία). ὄνομα κύριον, ὃν Ἀθηναῖοι κατέλευσαν διότι ὑπακούειν Πέρσαις προὐτρέπετο :— 16. ΚΩΔΥΑ (sic etiam Phot.; κώδεια Suidas in libris optimis: alii κωδία). ἡ τῆς μήκωνος κεφαλή. Ὑπερίδης καὶ Ἀριστοφάνης (Ὑ. καὶ Ἀ. om. Photius) :— 18. ΚΟΛΙΑΣ (sic). ἐπιθαλασσία—Ἀττικῆς, ἐκ μεταφορᾶς τοῦ κόλου ὠνομα-

1. Δημοσθένης] p. 433, 21.
— δ' om. B.G.
7. τὴν μὲν N. Ceteri ἢ τὴν.
8. προγράφουσι Jungermannus ad Polluc. 8, 95. Libri προσγράφουσι.
9. οἳ] εἰ N., ut Suidæ ed. Mediol.
10. δὲ additum ex Epitome.
13. Δημοσθένης] p. 296, 9.
16. ΚΩΔΕΙΑ] Scribebatur κωδία cum Ald. κώδνα A. κνῶδα B.C. κνῶ[8] N. κώδυα (κώδια D.) Epitome. Recta scriptura κώδεια est, de qua dictum in Thesauro vol. 4. p. 2173.
16. Ὑπερείδης καὶ addidi ex Epitome.
17. Ἀριστοφάνης] Fragm. 166.
— ἀγαθήν γε om. C.
— κωδίαν (quod ego κώδειαν scripsi) ex O. addidit Maussacus: om. codices ceteri et cum defectus nota Ald.
18. Δημοσθένης] p. 1356, 8.

λασσία ἄκρα τῆς Ἀττικῆς ἐστιν ἡ Κωλιάς, ἐκ μεταφορᾶς τοῦ κώλου ὠνομασμένη· ἔστι δ' αὐτόθι Ἀφροδίτης ἱερόν. μέμνηται Ἀριστοφάνης κατ' ἀρχὴν τῆς Λυσιστράτης.

Λ.

Λαγίσκα: Λυσίας ἐν τῷ πρὸς Λαΐδα, εἰ γνήσιος. Λαγίσκας τῆς ἑταίρας μνημονεύει καὶ Στράττις ὁ κωμικὸς οὕτω

Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι
τόν τ' αὐλοτρύπην αὐτόν.

Λαμπάδιον: ἣν νῦν ἡμεῖς λαμπάδα καλοῦμεν, οὕτως ὠνόμαζον Δείναρχος ἐν τῷ κατὰ Πυθέου καὶ Πλάτων ἐν α' τῆς Πολιτείας.

Λαμπάς: Λυσίας ἐν τῷ κατ' Εὐφήμου. τρεῖς ἄγουσιν Ἀθηναῖοι ἑορτὰς λαμπάδος, Παναθηναίοις καὶ Ἡφαιστίοις καὶ Προμηθείοις,

σμένη. καὶ ἔστιν αὐτόθι Ἀφροδίτης ἱερὸν Κολιάδος:— Aliam gl. substituit Phot., duas alias Suidas.

5. ΛΑΓΙ'ΣΚΑ. ἑταίρα τις, ἧς Λυσίας μνημονεύει:— 10. ΛΑΜΠΑ'ΔΙΟΝ. ὃ νῦν λαμπάδα καλοῦσιν. οὕτω Δείναρχος καὶ Πλάτων:— 12. ΛΑΜΠΑ'ΔΟΣ. τρεῖς ἄγουσιν—Ἡφαιστίοις (ὑφεστήοις codex Photii, η in ι mutato a m. pr.) καὶ Προμηθίοις. Ἴστρος δέ φησιν λαμπάδα νομίσαι ποιεῖν πρῶτον Ἀθηναίους Ἡφαίστῳ θύοντας, ὑπόμνημα τοῦ κατανοήσαντος—ἄλλους:— Gl. integram habet D., omisso τοῖς ante προπυλαίοις et ἐν ante τῇ τῶν.

1. τῆς Ἀττικῆς ex Epitome pro Ἀττική, quod in B. post Κωλιάς legitur.

6. Στράττις] Strattidis versus Athenæus 13. p. 592 d. attulit sic scriptos, καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν ἰδεῖν με συκάζουσιν εὐναίαν ἔτι τόν τ' αὐλοτρύπην αὐτόν. Scriptor Vitæ Isocratis p. 103, 18. ed. meæ Oxon. σκώπτουσι δὲ αὐτὸν (Isocratem) — οἱ κωμικοὶ ἐπὶ τῇ Λαγίσκῃ, ὧν εἷς ἐστι καὶ Στράττις λέγων ταῦτα ἐν Ἀταλάντῃ, καὶ τὴν (τὴν om. libri deteriores) Λαγίσκην τὴν Ἰσοκράτους παλλακὴν εὑρεῖν μὲν (sic) συκάζουσαν, εἶθ' ἥκειν ταχὺ τὸν αὐλοτρύπην αὐτόν. (ubi in annotatione mea ad lin. 19. deleantur verba "et Harpocratione s. v. Λαγίσκα.")

7. τὴν Ἰσοκράτους] καὶ τὴν Ἰσοκράτους A.B.G. Ald.

8. συκάζουσαν] συνευνάζουσαν A.

9. τόν τ' αὐλοτρύπην] τὸν ταυλοτρύπην C. τὺν ταὐτολοτρύπην A.B. et sine coronide Ald. Correxit ex Athenæo Maussacus.

10. νῦν ἡμεῖς] ἡμεῖς νῦν B.

11. ἐν α' τῆς Πολιτείας] p. 328 a.

13. λαμπάδος] λαμπάδας B.C.G. — ἡφαιστίοις C. Scribebatur Ἡφαιστείοις. Ἡφαίστια scriptum in inscr. Attica veteri (in qua etiam Προμήθια, quod falsum est) ap. Boeckh. Corp. Inscr. vol. 1. p. 343. et in codicibus Andocidis p. 17, 19. (ubi vulgo Ἡφαιστείοις). Quos locos memoravit Saupp. Fragm. p. 188.

ὡς Πολέμων φησὶν ἐν τῷ περὶ τῶν ἐν τοῖς προπυλαίοις πινάκων. Ἴστρος δ' ἐν α' τῶν Ἀτθίδων, εἰπὼν ὡς ἐν τῇ τῶν Ἀπατουρίων ἑορτῇ Ἀθηναίων οἱ καλλίστας στολὰς ἐνδεδυκότες, λαβόντες ἡμμένας λαμπάδας ἀπὸ τῆς ἑστίας, ὑμνοῦσι τὸν Ἥφαιστον θέοντες, ὑπόμνημα τοῦ κατανοήσαντα τὴν χρείαν τοῦ πυρὸς διδάξαι τοὺς ἄλλους.

Λαμπτρεῖς: Δημοσθένης ἐν τῷ πρὸς Κάλλιππον. Λαμπτραὶ δῆμος τῆς Ἐρεχθηΐδος, ὡς Διόδωρός φησι. δύο δ' εἰσὶ Λαμπτραί, αἱ μὲν παράλιαι, αἱ δὲ καθύπερθεν· Ἀριστοφάνης Ἀμφιάρεῳ "Λαμ-" πτρεὺς ἔγωγε τῶν κάτω."

Λάρκος: Λυσίας ἐν τῷ πρὸς Καλλιππίδην. λάρκος ἐστὶ φορμὸς εἰς ὃν ἄνθρακας ἐνέβαλλον. κέχρηνται τῷ ὀνόματι ἄλλοι τε καὶ Ἀριστοφάνης Ἀχαρνεῦσιν.

Λαρυγγίζειν: τὸ πλατύνειν τὴν φωνὴν καὶ μὴ κατὰ φύσιν φθέγγεσθαι, ἀλλ' ἐπιτηδεύειν περιεργότερον τῷ λάρυγγι χρῆσθαι οὕτως ἐλέγετο· Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Λεβάδεια: Λυκοῦργος ἐν τῷ κατὰ Λυσικλέους. πόλις ἐστὶ τῆς Βοιωτίας.

7. ΛΑΜΠΤΡΙΣ. Λαμπτραὶ δῆμος τῆς Ἐρεχθηΐδος. δύο δέ εἰσι—παράλιοι (πάραλοι D. παράλειοι Phot.), αἱ δὲ καθύπερθεν:— Solum lemma Λαμπτρὶς superest apud Suidam. 11. ΛΑ'ΡΚΟΣ. φορμός ἐστιν εἰς ὃν—ἐνέβαλον. κέχρηται τῷ ὀνόματι Λυσίας καὶ Ἀριστοφάνης καὶ ἕτεροι:— 15. οὕτως ἐλέγετο om. 17. ΛΙΒΑΔΙ'Α (λιβάδεια D. Λιβαδεία Suidas). πόλις τῆς Βοιωτίας:— Sic etiam Phot.

2. α' τῶν] τῇ α' N.
— εἰπὼν] εἶπεν Blancardus.
— ἐν τῇ] ἐν om. A.B.
3. οἱ καλλίστας] οἱ κάλλιστοι, καλλίστας Sauppius l. c.: ἔφηβοι vel ἱερεῖς addi voluerat Meierus. Mihi aut ante aut post οἱ paullo plura excidisse videntur, in quibus fuit verbum cum participio εἰπὼν quod præcedit conjungendum.
— λαβόντες] λαμβάνοντες B.C.G.
4. θύοντες] θέοντες Valesius, licet de lampadephoria in Apaturiis ab nemine quidquam traditum sit. quod notavit Meier. de gentil. Attica p. 13.
5. κατανοήσαντα Bekkerus. Libri κατανοήσαντος.
7. ΛΑΜΠΤΡΕΓΣ] λαμπρεῖς B.G. Λαμπτρεῖς—Κάλλιππον om. C.
— Δημοσθένης] p. 1236.
— Λαμπτραὶ] λαμπραὶ B.C.
9. Ἀριστοφάνης] Fragm. 93.
— Λαμπτρεὺς] λαμπρεὺς B.C.N.
13. Ἀχαρνεῦσιν] v. 333.
15. ἀλλ'—χρῆσθαι om. B.C.
16. Δημοσθένης] p. 323, 1.
17. ΛΕΒΑ'ΔΕΙΑ] Eo duces Atheniensium, inter quos Lysicles fuit, se receperant post pugnam Chæronensem: v. Vit. dec. orat. p. 849 a. quam citat Saupp. Fragm. p. 269.
— ἐστὶ om. B.C.

Λέμβος: Δημοσθένης ἐν τῷ πρὸς Ζηνόθεμιν. εἶδος νεὼς ὁ λέμβος· πολλάκις δὲ εἴρηται ἐν τῇ κωμῳδίᾳ.

Λέσχαι: Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. λέσχας ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο πολλοί. Ὅμηρος

οὐδ' ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθὼν
ἠέ που ἐς λέσχην.

Κλεάνθης ἐν τῷ περὶ θεῶν ἀπονενεμῆσθαι τῷ Ἀπόλλωνι τὰς λέσχας φησὶν, ἐξέδραις δὲ ὁμοίας γίνεσθαι αὐτὰς, καὶ παρ' ἐνίοις τὸν θεὸν λεσχηνόριον ἐπικαλεῖσθαι.

Λευκάς: Δημοσθένης ἐν θ' Φιλιππικῶν. νῆσός ἐστι πρὸ τῆς Ἠπείρου κειμένη.

1. ΛΕ'ΜΒΟΣ. εἶδος νεώς :— Longiorem gl. habet Suidas. 3. Ἀντιφῶν—Νικοκλέα om. 6. οὐ θέλεις 8. καὶ Λεάνθης (Κλεάνθης Phot. et Suidas) δὲ φησὶν ἀπονενεμῆσθαι τῷ Ἀ. τὰς λέσχας, ἐξέδραις—γίνεσθαι. καὶ αὐτὸν δὲ τὸν Ἀπόλλω παρ' ἐνίοις λεσχηνόριον (λέσχην ὅριον D. λέσχην ὅρειον Phot.) ἐπικαλεῖσθαι :— 11. ΛΕΥΚΑ'Σ. νῆσος ἐστὶν πρὸ τῆς ἠπείρου κειμένη :—

1. Δημοσθένης] p. 883 extr. 884, 5.

2. ἐν τῇ κωμῳδίᾳ] ἐν Γ" κωμωδίᾳ C. Γ̄ κωμωδίας B.

4. πολλοί] οἱ πολλοί, *vulgus*, Toupius Emend. vol. 3. p. 464. Non opus.

5. Ὅμηρος] Od. 18, 328.

6. οὐδ' ἐθέλεις] οὐ θέλεις A. Ald. οὐκ ἐθέλεις B.C.

7. ἠέ που ἐς λέσχην] ἤπου ἐς λέσχην G. (et fortasse A.). Ald. ἤπου λέσχην B.C.

9. ἐξέδραις] ἐξαίδραι B. ἐξέδρας C.

— ὁμοίας] ὁμοίαις A. Ald.

10. λεσχηνόριον] λέσχην ὅριον A. B. Ald.

11. Δημοσθένης] p. 120, 1. Δ. φιλιππικῶν θ' B.C.

12. Post κειμένη legebatur διείλεκται δὲ περὶ τῆς Ἀττικῆς (corrige ἀκτῆς cum Valesio) ἀκριβέστερον (ἀκριβέστατον A.) Στράβων ἐν τῷ ι' (p. 452. τῷ β^ω C.) τῶν Γεωγραφουμένων. ἐν μέσῳ δὲ καὶ τὸ Μενάνδρου δρᾶμα ἡ Λευκαδία. Et mox ubi de Lechæo agitur p. 193, 3. post ἐπίνειον Κορινθίων addebatur καθά φησι Στράβων ἐν η' (p. 380. ἐν τῷ γ^ω O.) Γεωγραφουμένων. Ejeci hæc interpolatoris additamenta non lecta ab Epitomatore, quantum ex silentio ejus colligi potest. Non est Strabo inter scriptores quorum auctoritate uti solet Harpocratio, omninoque Strabonis Geographumena, ut ostendit Meinekius in Præfatione ad Vindicias Strabonianas, non laudantur nisi a recentioris et fere Byzantinæ memoriæ scriptoribus. Et ut Harpocratio Strabonis opere usus sit, ut Athenæus usus est, tamen plane incredibile est, quod recte monuit Meinekius l. c. p. viii., eum his duobus locis solis, brevissimo intervallo disjunctis, et in rebus levissimis neque ullo scriptoris testimonio confirmandis ad Strabonem provocasse, quamvis frequentissimam in tot aliis locorum populorumque nominibus ex-

Λεύκη: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος "ἐστεφανωμένους "τῷ μαράθῳ καὶ τῇ λεύκῃ." οἱ τὰ Βακχικὰ τελούμενοι τῇ λεύκῃ στέφονται διὰ τὸ χθόνιον μὲν εἶναι τὸ φυτὸν, χθόνιον δὲ καὶ τὸν τῆς Περσεφόνης Διόνυσον. τὴν δὲ λεύκην πεφυκέναι φασὶ πρὸς τῷ Ἀχέροντι, ὅθεν καὶ ἀχερωΐδα καλεῖσθαι παρ' Ὁμήρῳ·

ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωΐς
ἠὲ πίτυς βλωθρή.

Λευκὴ ἀκτή: Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην. πλειόνων οὐσῶν Λευκῶν, ὡς Δημήτριος ὁ Μάγνης δηλοῖ, ἔοικε τῆς ἐν Προποντίδι μνημονεύειν ὁ ῥήτωρ νῦν.

Λευκονοιεύς: Δημοσθένης ἐν τῷ κατ' Ἀφόβου. Λευκόνοιον δῆμος τῆς Λεοντίδος, ὡς Διόδωρός φησιν.

Λεῦκτρα: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἔστι δὲ χωρίον Βοιώτιον περὶ Θεσπιάς.

1. ΛΕΥ'ΚΗ—τοὺς ἐστεφανωμένους—τῇ λεύκῃ. ἐστέφοντο δὲ οἱ τὰ Βακχικὰ τελούμενοι τῇ λεύκῃ διὰ τὸ χθόνιον 4. φασὶ παρὰ] φησὶ πρὸς (παρὰ D.) 5. ἀχεροΐδα (ἀχερωΐδα Suidas) καλεῖσθαι αὐτὴν παρ' Ὁμήρῳ :— 8. ΛΕΥΚΗ' 'ΑΚΤΗ'. πλειόνων ὄντων λευκῶν Λυσίας τοὺς (τῆς Suidas) ἐν Προποντίδι μνημονεύει :— 11. ΛΕΥΚΟΝΟΙΕΥ'Σ (λευκονεύς et λευκόνιον D. Λευκόνιον Phot.) δῆμος τῆς Λεοντίδος οἱ Λευκόνοι (Λ. οἱ καὶ Λευκόνιοι Phot.) :— 13. ΛΕΥ'ΚΤΡΑ (Λεῦκτρα Suidas). χωρίον—περὶ (παρὰ libri quidam Suidæ) Θεσπιάς :—

plicandis haberet citandi opportunitatem, si ejus auctoritate uti voluisset. Porro, de quo ipso quoque admonuit Meinekius, quod primo loco de ἀκτῇ scribitur tam obscurum est ut, nisi ipsum Strabonem evolvas, quo referendum sit vix intelligatur. Hæc, ut opinor, sufficient ad monstrandam interpolatoris fraudem. Nam quod addit Meinekius, istud ἐν μέσῳ, *in omnium manibus est*, (vel, ut Dobræus interpretatur, *vulgo nota est*) insolens dicendi genus esse et ab Harpocrationis certe usu alienum, minoris momenti est, quum similium locutionum, in quibus ἐν μέσῳ usurpatur, exemplis defendi possit.

1. Δημοσθένης] p. 313, 24.

3. διὰ τὸ χθόνιον Epitome. Libri αὐτοχθόνιον, nisi quod N. τῷ χθονίῳ, quæ correctoris conjectura est.

4. φασὶ] φησὶ B.

5. ἀχερωΐδα] ἀχερωνίδα B.C.

— Ὁμήρῳ] Il. 13, 389.

7. ἠὲ] ἠΰτε C. ηὔτε G.

8. Λυσίας ἐν τῷ πρὸς Ἀλκιβιάδην] Et in oratione prima κατ' Ἀλκιβιάδου p. 142, 16. Vid. Saupp. ad Fragm. p. 174.

9. Μάγνης Ald. μάγης A. μέγας B.C.

11—14. om. C.

11. 'ΛΕΥΚΟΝΟΙΕΥ'Σ] Vitiose pro Λευκονοεὺς, quæ forma legitur apud Demosth. p. 818, 3. et in inscriptionibus: vid. Meier. et Ross. de demis p. 126. et Boeckh. Inscr. vol. 1. p. 151.

— Λευκόνοιον] λευκώνιον B. Recta nominis forma esse videtur Λευκονόη.

13. Δημοσθένης] p. 231, 4.

14. περὶ] παρὰ G.

Λέχαιον: ἐν τῇ πρὸς τὴν Μιξιδήμου γραφὴν ἀπολογίᾳ φησὶ Λυσίας ὅτι τὸ Λέχαιον ἑάλω Μνασίππου ἄρχοντος. ἔστι δὲ τὸ Λέχαιον ἐπίνειον Κορινθίων.

Λεωκόρειον: Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. τὸ δὲ Λεωκόρειον εἶναί φησι Φανόδημος ἐν θ' Ἀτθίδος ἐν μέσῳ τῷ Κεραμεικῷ.

Ληξιαρχικὸν γραμματεῖον: Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου, εἰς ὃ ἐνεγράφοντο οἱ τελεωθέντες τῶν παίδων, οἷς ἐξῆν ἤδη τὰ πατρῷα οἰκονομεῖν, παρ' ὃ καὶ τοὔνομα γεγονέναι, διὰ τὸ τῶν λήξεων ἄρχειν· λήξεις δ' εἰσὶν οἵ τε κλῆροι καὶ αἱ οὐσίαι, ὡς καὶ Δείναρχος ἐν τῇ α' καθ' Ἡγελόχου συνηγορίᾳ ὑπὲρ ἐπικλήρου.

Λῆξις: τὸ ἔγκλημα, καθ' ὃν λόγον φαμὲν καὶ λαχεῖν δίκην· Ἰσαῖος ἐν τῇ πρὸς Βοιωτὸν ἐφέσει.

Λητή: Ὑπερείδης κατὰ Δημάδου. Λητὴ πόλις ἐστὶ τῆς Μακεδονίας, μνημονεύει δὲ αὐτῆς πολλάκις Μαρσύας ὁ νεώτερος ἐν ϛ' Μακεδονικῶν.

Λίθος: Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος "τῶν τε παρόντων καθ' "ἕνα ἡμῖν οὑτωσὶ καὶ πρὸς τὸν λίθον ἄγοντες καὶ ἐξορκοῦντες." ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Φιλόχορος ἐν τῷ γ' ὑποσημαίνουσιν.

1. ΛΕ'ΧΑΙΟΝ. ἐπίνειον Κορινθίων:— 4. ΛΕΟΚΟ'ΡΕΙΟΝ. ἐν μέσῳ ἦν ἱδρυμένον τῷ Κεραμικῷ:— Duas alias glossas habent Phot. et Suidas s. v. Λεωκόριον. 6. Αἰσχίνης—Τιμάρχου om. 7. ἤδη om. Suidas, habet Phot. 8. παροῦ (παρὸ Phot. et Suidas)—γέγονε τὸ om. D. 9. οὐσίαι. λῆξις (καὶ add. D.) τὸ ἔγκλημα, καθ' οἷον λόγον—δίκην:— 13. ΛΙΤΗ'. πόλις (πόλις om. Phot. et Suidæ codex A.) τῆς Μακεδονίας, ἧς Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου μνημονεύει:— 17. ἡμῶν οὑτωσὶ πρὸς—ἐοίκασιν (εἰρήκασιν Phot.) οὖν Ἀθηναῖοι 18. Ἀριστοτέλης καὶ Φιλόχορος ὑποδηλοῦσιν:—

1. πρὸς τὴν et γραφὴν addidit Sauppius Fragm. p. 197.

2. Μνασίππου] Mnasippum ducem Lacedæmoniorum fuisse docuit Boeckhius in Ind. Lection. 1827–28, de archontibus pseudeponymis p. 6. SAUPP. Fragm. p. 197.

3. Κορινθίων] De verbis vulgo additis καθά φησι Στράβων ἐν η' Γεωγραφουμένων diximus paullo ante s. v. Λευκάς.

4. Δημοσθένης] p. 1258 extr.

6. Αἰσχίνης] p. 3, 28. 14, 31.

7. τελεωθέντες ex Epitome pro τελεσθέντες.

8. τὸ om. B.

9. οὐσίαι:— C.

12. Βοιωτὸν] βοιωτοὺς B.C.

13. ΛΗΤΗ' utrobique N. λιτή ceteri.

— κατὰ] ἐν τῷ κατὰ C.

— ἐστὶ τῆς om. N. τῆς om. C.

14. δὲ om. C.

16. Δημοσθένης] p. 1265, 4. cui λίθον pro βωμὸν nunc ex Harpocratione restitutum.

17. ἐξορκοῦντες] ἐξορκίζοντες apud Demosthenem.

19. ὑποσημαίνουσιν] μνημονεύουσι C.

Λικνοφόρος: *Δημοσθένης ἐν τῷ ὑπὲρ* Κτησιφῶντος. *τὸ λίκνον πρὸς πᾶσαν τελετὴν καὶ θυσίαν ἐπιτήδειόν ἐστιν· ὁ τοῦτο οὖν φέρων λικνοφόρος λέγοιτ' ἄν.*

Λιπάρα: Δείναρχος Τυρρηνικῷ. *μία τῶν καλουμένων* Αἰόλου *νήσων περὶ τὴν* Σικελίαν *ἡ* Λιπάρα, *ὡς* Εὔδοξος *ζ' περιόδου.*

Λογισμός: *ἡ λογιστικὴ τέχνη·* Ἰσοκράτης Βουσίριδι.

Λογισταὶ *καὶ* λογιστήρια: *ἀρχή τις παρ'* Ἀθηναίοις *οὕτω καλουμένη· εἰσὶ δὲ τὸν ἀριθμὸν δέκα, οἳ τὰς εὐθύνας τῶν διῳκημένων ἐκλογίζονται ἐν ἡμέραις τριάκοντα, ὅταν τὰς ἀρχὰς ἀποθῶνται οἱ ἄρχοντες·* Δημοσθένης *ἐν τῷ ὑπὲρ* Κτησιφῶντος. *διείλεκται περὶ τούτων* Ἀριστοτέλης *ἐν τῇ* Ἀθηναίων *πολιτείᾳ, ἔνθα δείκνυται ὅτι διαφέρουσι τῶν εὐθύνων. μέμνηνται τῆς ἀρχῆς καὶ οἱ κωμικοί·* Εὔπολις Πόλεσιν

ἄνδρες λογισταὶ τῶν ὑπευθύνων χορῶν.

λογιστήρια δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος *ἐν τῷ κατὰ* Τιμοκράτους *καὶ* Ἀνδοκίδης *ἐν τῷ περὶ τῶν μυστηρίων δηλοῦσιν.*

Λογοποιός: *ὁ ὑφ' ἡμῶν ἱστορικὸς λεγόμενος·* Ἰσοκράτης Βουσίριδι *καὶ* Ἡρόδοτος *ἐν τῷ β'.*

1. Δ.—Κτησιφῶντος om. 2. ὁ δὲ τοῦτο φέρων λ. λέγοιτ' ἄν (λέγεται Suidas solus):— 4. Δείναρχος Τ. om. 5. Σ. δὲ ἡ Λιπάρα:— 6. ΛΟΓΙΣΜΌΣ (λογισμόν Phot.)—τέχνη, ὡς Ἰ. Β.:— 7. οὕτω καλουμένη] οἱ λογισταί 10. Δημοσθένης—χορῶν om. 14. Δείναρχος καὶ Ἀνδοκίδης δηλοῦσιν:— 18. Ἰσοκράτης καὶ Ἡρόδοτος:—

1. Δημοσθένης] p. 313 extr.

2. τελετὴν] ἀρκτὴν B. ἀρετὴν C.

3. Delevi verba post λέγοιτ' ἂν lecta λίκνον τὸ πτύον, quæ absunt ab Epitome. Illata videntur ex Suida s. v. λίκνον.

4. Τυρρηνικῷ Valesius. Libri τυραννικῷ.

— Αἰόλου νήσων] αἰόλων νῆσος B.C.

5. περὶ Ald. et Epitome. παρὰ A. B.C.G.

— Εὔδοξος] ἔνδοξος A.B. Ald.

— ζ'] ζ^η C. ἐν η̄ Ald.

6. λογιστικὴ] λογικὴ C.G. et libri Suidæ duo.

— Ἰσοκράτης] p. 226 a.

8. οἳ] καὶ N. κόδροις A. λόδροις B. λόγοις C.

8. τῶν δ. ἐ.] ἐ. τῶν δ. C.

10. Δημοσθένης] p. 266, 9.

11. Ἀθηναίων om. A. Ald.

12. εὐθύνων] Scribebatur εὐθυνῶν. Vide quæ s. v. εὔθυνοι diximus.

14. ὑπευθύνων] ὑπευθυνῶν A.Ald. ἐπευθυνῶν B.G.

— χορῶν] χωρῶν G. χειρῶν O.

15. ἐστὶ] εἰσὶ N.

16. Ἀνδοκίδης] p. 10, 38.

18. Ἰσοκράτης] p. 228 c.

19. καὶ om. A.B.

— Ἡρόδοτος] 2, 143.

— ἐν τῷ δευτέρῳ Maussacus. Libri ἐν τῷ ιβ^ω, vel, quod est in Ald., ἐν τῷ δωδεκάτῳ.

Λόγου τυχεῖν: ἀντὶ τοῦ ἐπαίνου Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Λοιδίας: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ὅτι Μακεδονίας ἐστὶ ποταμὸς ἄλλοι τε ἱστοροῦσι καὶ Ἑκαταῖος ἐν περιόδῳ Εὐρώπης.

Λουτροφόρος καὶ λουτροφορεῖν: ἔθος ἦν τοῖς γαμοῦσι λουτρὰ μεταπέμπεσθαι ἑαυτοῖς κατὰ τὴν τοῦ γάμου ἡμέραν, ἔπεμπον δ' ἐπὶ ταῦτα τὸν ἐγγύτατα γένους παῖδα ἄρρενα, καὶ οὗτοι ἐλουτροφόρουν. ἔθος δὲ ἦν καὶ τῶν ἀγάμων ἀποθανόντων λουτροφόρον ἐπὶ τὸ μνῆμα ἐφίστασθαι· τοῦτο δὲ ἦν παῖς ὑδρίαν ἔχων. λέγει περὶ τούτων Δείναρχος ἔν τε τῷ κατὰ Θεοδότου καὶ ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. ὅτι δὲ τὰ λουτρὰ ἐκόμιζον ἐκ τῆς νῦν μὲν Ἐννεακρούνου καλουμένης κρήνης, πρότερον δὲ Καλλιρρόης, Φιλοστέφανος ἐν τῷ περὶ κρηνῶν φησί. μέμνηνται δὲ τοῦ ἔθους οἱ κωμικοί.

Λουσιεύς: Ὑπερείδης ἐν τῷ πρὸς τὴν Δημέου γραφήν. δῆμός ἐστι τῆς Οἰνηΐδος Λουσιά, ἀφ' ἧς ὁ δημότης Λουσιεύς, ὡς Διόδωρός φησιν.

1. ὑπὲρ] κατὰ 3. ΛΟΙΔΙ'ΑΣ. ποταμὸς Μακεδονίας, οὗ (οὗ om. Suidas) Αἰσχίνης μέμνηται ἐν τῷ παραπρεσβείας (ἐν τῷ π. om. Phot. et Suidas):— 6. γαμοῦσι] γαμοῦσιν Ἀθήνησιν 8. ἐγγυτάτω 9. καὶ τοῖς ἀγάμοις ἀποθανοῦσι λουτροφορεῖν καὶ ἐπὶ τὸ μνῆμα 10. ἔχων. τὰ δὲ λουτρὰ ἐκόμιζον 13. Καλλιρόης:— 15. ΛΟΥΣΙΕΥ'Σ. δῆμος τῆς Οἰνηΐδος:— Λουσία (Λουσία om. Suidas). ἀφ' οὗ οἱ δημόται Λουσιεῖς:—

1. Δημοσθένης] p. 229, 13. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν. Mirus est error Harpocrationis λόγου pro ἐπαίνου dictum accipientis, quem tamen non est verisimile corrigendum esse restituendo εἰπεῖν, quod conjecit Valesius.

— ὑπὲρ Maussacus. κατὰ A.B. Ald., om. C. Eodem modo erratum s. v. Ἵππαρχος.

3. Αἰσχίνης] p. 44, 30.

— πρεσβείας] παραπρεσβείας Ald.

— ὅτι] ὅτι τῆς Ald. ὅτι δὲ τῆς A.

6. τοῖς om. B.C.

8. γένους] καὶ γένους B.C.G.

9. δὲ] γὰρ B.C.

— λουτροφόρον ἐπὶ] λουτροφορεῖν (ον superscr.) ἐπὶ N. Ceteri λουτροφορεῖν καὶ ἐπί.

11. εἰσαγγελίᾳ Maussacus pro ἀγγελίᾳ.

13. Καλλιρρόης] καλλιρόης A. N. Ald.

— Φιλοστέφανος Meier. Comment. Andocid. 6. p. 62. Legebatur Πολυστέφανος. Philostephanum περὶ τῶν παραδόξων ποταμῶν scripsisse testis est Athen. 8. p. 331 d.

15. Δημέου Blancardus. Libri δημαίου.

16. Λουσιά] Scribebatur Λουσία contra regulam Arcadii p. 99, 11. ut apud Steph. Byz. aliosque.

— ἧς B.C. Ald. οὗ Epitome. om. A. ἀφ' ἧς post nomen demi femininum est s. v. Ξυπεταίονες.

— δημότης] φυλέτης N.

Λύκειον: Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἓν τῶν παρ' Ἀθηναίοις γυμνασίων ἐστὶ τὸ Λύκειον, ὃ Θεόπομπος μὲν ἐν τῇ κα' Πεισίστρατον ποιῆσαι, Φιλόχορος δ' ἐν τῇ δ' Περικλέους φησὶν ἐπιστατοῦντος αὐτὸ γενέσθαι.

Λυκιουργεῖς: Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. Δίδυμός φησι τὰς ὑπὸ Λυκίου κατεσκευασμένας φιάλας, τοῦ Μύρωνος υἱοῦ, οὕτως εἰρῆσθαι. ἀγνοεῖν δὲ ἔοικεν ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον, μᾶλλον δὲ ἀπὸ πόλεων καὶ ἐθνῶν· "κλίνη Μιλησιουργής" Κριτίας φησὶν ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ. μήποτ' οὖν γραπτέον καὶ παρ' Ἡροδότῳ ἐν τῇ ζ', ἀντὶ τοῦ προβόλους δύο Λυκοεργέας, Λυκιεργέας, ἵνα ὥσπερ παρὰ τῷ Δημοσθένει οὕτως ὀνομάζηται τὰ ἐν Λυκίᾳ εἰργασμένα.

Λυκοῦργος: εἷς τῶν δέκα ῥητόρων, οὗ πάππος Λυκοῦργος ὁ νομοθέτης.

Λύσανδρος: ὄνομα κύριον, Λακεδαιμονίων ναύαρχος.

Λυσίμαχος: Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν. ἦν δὲ Ἀρι-

1. ΛΥ'ΚΙΟΝ (Λύκειον Phot. et Suidas). ἐν τῶν—γυμνασίων τὸ Λύκιον (Λύκειον Phot. et Suidas), ὁ Θ. μὲν Π. ποιεῖσθαι (ποιῆσαι Suidas) φησὶ, Φιλόχορος δὲ ἐπιστατοῦντος Περικλέους γενέσθαι :— 5. ΛΥΚΙΟΥΡΓΓ'Σ (sic etiam Phot. et Suidæ ed. Mediol.).—Τιμόθεον κέχρηται τῇ λέξει. Δίδυμος δέ φησι—εἰρῆσθαι. ἔοικεν δὲ ἀγνοεῖν ὁ—ὡς κλίνη Μιλισιουργὶς (Μηλιουργὶς Phot. Μηλισιουργὴς Suidas) καὶ τὰ ὅμοια. μήποτε—ἐν τῇ ιη' (η' Phot. et Suidas)—Λυκοεργέας (Λυκιοεργέας addunt Phot. et Suidæ codex A.), ὥσπερ ἵνα (ἵνα ὥσπερ Phot. et Suidas)—Λυκίῳ (λυκίᾳ Suidæ codex A.) εἰργασμένα :— 12. τῷ om. D. Λυκίᾳ] τῷ λυκίῳ D. 13. ὁ νομοθέτης] ἐνομοθέτησεν ὁ νομοθέτης (ὁ νομοθέτης om. D. et Photius.) :— Glossam aliam longiorem habet Suidas. 15. ΛΥ'ΣΑΝΔΡΟΣ. ναύαρχος Λακεδαιμονίων :— 16. ΛΥΣΙ'ΜΑΧΟΣ. οὗ μὲν Δ.—ἀτελειῶν μνημονεύει, Ἀριστείδου ἦν υἱὸς τοῦ δικαίου, οὗ δὲ Λυκοῦργος, μελοποιὸς ἦν εὐτελής :—

1. Δημοσθένης] p. 736, 6.
2. μὲν om. C.
— κα'] κατὰ B.C. Ald.
3. Πεισίστρατον Epitome. Libri Πεισιστράτου, præter C., qui πεισιστράτους.
— ποιῆσαι] ποιήσει C.
4. γενέσθαι] γίγνεσθαι C.
5.—12. Hæc omnia Harpocratio Athenæo debet 11. p. 486.
5. Δημοσθένης] p. 1193, 11.
— ἐν] φησὶν ἐν B.
6. ὑπὸ] ἀπὸ C.
9. κλίνη] κλίνας N.
9. Μιλησιουργὴς] μιλυδιουργὴς B. μιλυσιουργὸς C. μιλησιουργεῖς N.
10. Λακεδαιμονίων] ἀθηναίων C.
11. ζ'] c. 76.
— Λυκοεργέας] λυκοεργείας B. λυκιεργίας C. λυκοεργίας G.
— λυκιοεργέας A. cum Athenæo. λυκιεργίας C.G. om. B. Ald. et codices Epitomes.
13. ΛΥΚΟΥ'ΡΓΟΣ] Hanc gl. om. C.
15. ΛΥ'ΣΑΝΔΡΟΣ] Memoratur ab Lysia, Isocrate, Demosthene.
16. Δημοσθένης] p. 491, 26.

στείδου υἱὸς τοῦ δικαίου ἐπικληθέντος. ἕτερος δ' ἐστὶ Λυσίμαχος οὗ μνημονεύει Λυκοῦργος ἐν τῷ περὶ τῆς διοικήσεως ὡς εὐτελοῦς μελοποιοῦ.

M.

Μαιμακτηριών: *ὁ πέμπτος μὴν παρ' Ἀθηναίοις· Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. ὠνόμασται δὲ ἀπὸ Διὸς μαιμάκτου. μαιμάκτης δ' ἐστὶν ὁ ἐνθουσιώδης καὶ ταρακτικὸς, ὥς φησι Λυσιμαχίδης ἐν τῷ περὶ τῶν Ἀθήνησι μηνῶν· ἀρχὴν δὲ λαμβάνοντος τοῦ χειμῶνος ἐν τούτῳ τῷ μηνὶ ὁ ἀὴρ ταράττεται καὶ μεταβολὴν ἴσχει.*

Μακροκέφαλοι: *Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος μέμνηται ἐν γ' Γυναικῶν καταλόγῳ. Παλαίφατος δ' ἐν ζ' Τρωϊκῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους.*

Μαλκίομεν: *Δημοσθένης θ' Φιλιππικῶν φησὶ "μένομεν καὶ*

5. ΜΑΙΜΑΚΤΗΡΙΩ´Ν. *ὁ πέμπτος μὴν παρὰ Ἀθηναίοις* (*παρὰ Ἀθήνησιν* Phot.) *ὠνομάσθη δὲ* 7. *ὥς φησι—μηνῶν* om. 10. ΜΑΚΡΟΚΕ´ΦΑΛΟΙ (*Μακροκεφάλους* Phot.). *ἔθνος* 11. *καλούμενον. Παλαίφατος δέ φησιν ἐν ζ' τῶν Τρωϊκῶν ἐν τῇ Λιβύῃ ὑπεράνω* 14.—p. 198, 3. ΜΑΛΚΙ´ΟΜΕΝ. *Δημοσθένης θ'* (*ἐν θ'* Suidas) *Φιλιππικῶν φησίν*:— Glossam integram habet D.

1. *δικαίου ἐ.*] *ἐ. δικαίου* C.

5. *ὁ πέμπτος*] Recte quintum, non, quæ recentiorum quorundam opinio fuit, quartum dicit: v. Clinton. Fast. Hell. vol. 2. Append. cap. 19, 5. et C. F. Hermann. in libro de mensibus Gottingæ edito a. 1844. p. 69.

— *παρ' Ἀθηναίοις*] *ὁ Ἰανουάριος* addidit Suidas vel Suidæ interpolator, quemadmodum Mæmacterionem cum Romanorum Januario comparat Epiphan. vol. 1. p. 446 d. ex ratione recentiorum (nam apud veteres respondebat Novembri), de qua dixit Hermannus l. c.

— *Δημοσθένης*] p. 1190.

— *Δ.—Τιμόθεον* om. C.

8. *Ἀθήνησι*] *ἀθηναίων* B.C.

10. ΜΑΚΡΟΚΕ´ΦΑΛΟΙ] *μακροκεφάλους* B.C.

— *Ἀντιφῶν—ὁμονοίας* om. B.C.

11. *Ἡσίοδος*] Hunc memorat etiam Strabo 1. p. 43, 7. p. 299. Alia de *Μακροκεφάλοις* collegit Schneidewin. in Conject. crit. p. 22.

— *μέμνηται* post *καταλόγῳ* habent A. Ald.

12. *ζ'*] *ἑβδόμῃ* Ald.

— *Κόλχων*] *κόλων* D.

14. ΜΑΛΚΙ´ΟΜΕΝ Q. et Epitome. *μαλακίομεν* C.G.N.P. Ceteri *μαλακίζομεν*, quod *μαλακιζόμεθα* scribendum foret, nisi corruptum esset ex illo. Apud Demosthenem p. 120, 7. nunc libri omnes *μαλακιζόμεθα*. Antiqua lectio *μαλκίομεν* esse videtur, quod ab interprete aliquo in *μαλακιζόμεθα* mutatum esse credibilius videtur quam contrarium.

— *θ'*] *ἐν ἐννάτῳ* Ald., om. B.C.

— *Φιλιππικῶν*] *φιλιππικῷ* C.

— *μένομεν*] *μέλλομεν* D.

“μαλακιζόμεθα.” ἐν ἐνίοις γράφεται μαλκίομεν, ὅπερ δηλοῖ τὸν ὄρρον φρίττειν. Αἰσχύλος

ἔλα, δίωκ᾽ ἀκμῆτι μαλκίων ποδί.

Μάλθη: ὁ μεμαλαγμένος κηρός· Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. Ἱππῶναξ

ἔπειτα μάλθη τὴν τρόπιν παραχρίσας.

Μαντινέων διοικισμός: Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρήνης περὶ Λακεδαιμονίων λέγων φησὶ “Μαντινέας διῴκισαν,” καὶ Ἔφορος ἐν τῇ κʹ φησὶν ὅτι εἰς εʹ κώμας τὴν Μαντινέων διῴκισαν πόλιν Λακεδαιμόνιοι.

Οἴκημα: ἀντὶ τοῦ δεσμωτήριον Δείναρχος ἐν Τυρρηνικῷ καὶ ἐν τῷ κατὰ Ποσειδίππου, ἀντὶ δὲ τοῦ πορνεῖον Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου.

Οἰκίσκοι: ἀντὶ τοῦ μικρῷ τινι οἴκῳ Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἐκάλουν δὲ οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνιθοτροφεῖον οἰκίσκον· Ἀριστοφάνης Πελαργοῖς, Μεταγένης Αὔραις. ἐκ τούτων δ' ἔοικε πλανώμενος ὁ Δίδυμος καὶ τὸ Δημοσθενικὸν ἐξηγεῖσθαι.

Οἰνηΐς: Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονα. μία τῶν δέκα φυλῶν παρ' Ἀθηναίοις.

1. ΟἸΉΘΕΝ (Οἴηθεν Phot.). δῆμος Πανδιονίδος (πανδιώνιδος T.) ἡ Οἴη. καὶ τὸ Οἴηθεν (οἰηθέν T. Οἶῆθεν Suidas) τοπικὸν ἐπίρρημα 2. Φιλόχορος δὲ τὴν Οἴην φησὶν Κεφάλου μὲν θυγατέρα εἶναι, Χαρωποῦ (χαροποῦ D. et Phot. Suidæ codices partim sic, partim Χαρόπου) δὲ γυναῖκα οἰκέως :— Post quod οἰκέως Epitome pergit ad οἴκημα. Plane eodem modo hæc scripta repererunt Photius et Suidas, qui quum viderent οἰκέως alius glossæ initium esse, solum illud lemma οἰκέως Lexicis suis inseruerunt, Photius post gl. οἰκογενές p. 319, 6. ante οἴκημα, Suidas inter glossas οἴκαδε et οἰκέται, ubi interpolator aliquis defectum supplere studuit additis post οἰκέως verbis ἀπ' εὐθείας τῆς οἰκεύς, ἤγουν οἰκέτης, quibus caret liber Parisinus optimus. 6. ἐν Τυρρηνικῷ—Ποσειδίππου om. 7. Αἰσχίνης :— 9. τινὶ οἴκῳ. Δ. ἐν τῷ περὶ (ὑπὲρ libri Suidæ deteriores) 12. ὀρνίθων τροφεῖον (ὀρνιθοτροφεῖον Suidas) οἰκίσκον :— 13. ΟἸΝΗΐΣ (οἰνίης Phot. et Suidæ codices). μία τῶν

1. Ἰσαῖος—Ἐλπαγόρου om. P. et mox verba Οἴηθεν—ἱστορεῖ.

2. Οἴη] De hoc pago dixit Sauppius in comment. de demis urbanis p. 8.

— ἀπὸ τόπου] ἐν τόπῳ A.P. Ald.

4. ΟἸΚΈΩΣ] οἰκέας B.C.

— Λυσίας] p. 117, 41.

— Θεομνήστου] θεοπόμπου B.C.

— ὥσπερ (ὥσπερ om. C.) ἐξηγούμενος] Legebatur ἐξηγούμενος ὥσπερ.

5. τοὔνομα P. Scribebatur τὸ ὄνομα.

— τὸ δὲ] τόδε A.

— οἰκέως] οἰκέος B.C.

6. Δείναρχος om. Q.

6. Τυρρηνικῷ Valesius pro τυραννικῷ.

7. Ποσειδίππου] ποσιδίππου B.C. Ald.

— Αἰσχίνης] p. 11, 3.

— ἐν τῷ om. P.

9. οἴκῳ] οἰκήματι B.C.G.

— Δημοσθένης] p. 258, 21.

— ἐν τῷ om. A.B.

11. Ἀριστοφάνης] Fragm. 385. Ἀριστοφάνης—ἐξηγεῖσθαι om. P.

12. καὶ om. C.

13. δέκα om. B.C.

14. φυλῶν] φυλακῶν C.

— Ἀθηναίοις Epitome. Libri ἀθηναίοις ἦν.

Οἰνόη καὶ Οἰναῖος: Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονα "καὶ ἔφασαν ἐν Οἰνόῃ ἀκοῦσαι ὅτι μάχη εἴη γεγονυῖα." Οἰνόη δῆμος τῆς Ἱπποθωντίδος πρὸς Ἐλευθέραις, ὁ δὲ τῆς Αἰαντίδος πρὸς Μαραθῶνι· ἀφ' ἑκατέρου δὲ τῶν δήμων ὁ δημότης Οἰναῖος καλεῖται. μνημονεύοι δ' ἂν νῦν ὁ ῥήτωρ τοῦ πρὸς Ἐλευθέραις, οὗ καὶ Θουκυδίδης ἐν τῇ β'.

Οἶον: Ἰσαῖος ἐν τῷ περὶ τῆς ποιήσεως. δῆμοί εἰσιν ἐν τῇ Ἀττικῇ διττοὶ οὐδετέρως λεγόμενοι, καλοῦνται δὲ Οἶον. κεκλῆσθαι δέ φησιν οὕτω Φιλόχορος ἐν τῇ γ' διὰ τὸ μηδαμῶς οἰκητὸν τόπον ἔχειν, ἀλλὰ μεμονῶσθαι· τὸ γὰρ μόνον οἶον ἐκάλουν οἱ ἀρχαῖοι. ἔστι δὲ τὸ μὲν Κεραμεικὸν Οἶον τῆς Λεοντίδος φυλῆς, τὸ δὲ Δεκελεικὸν τῆς Ἱπποθωντίδος, ὡς Διόδωρος. οἱ δὲ δημόται ἑκατέρωθεν ἐλέγοντο ἐξ Οἴου. ἄλλοι δ' ἦσαν οἱ λεγόμενοι Οἴηθεν, ὡς προείρηται.

Οἶος εἶ καὶ οἷός τε εἶ: τὸ μὲν χωρὶς τοῦ τέ σημαίνει τὸ βούλει καὶ προῄρησαι, τὸ δὲ σὺν τῷ τέ τὸ δύνασαι. ἀμφοτέροις ἐχρήσατο Λυσίας ἐν τῷ κατὰ Λυσιθέου, εἰ γνήσιος.

1. ΟἸΝΟ'Η καὶ ΟἸΝΕ'ΩΣ (οἱ νεώς T.). δῆμος τῆς Ἱπποθοοντίδος καὶ ἕτερος τῆς Αἰαντίδος. λέγεται δὲ ὁ μὲν τῆς Ἱπποθοοντίδος πρὸς Ἐλευσίναις (sic), ὁ δὲ τῆς Αἰαντίδος πρὸς Μαραθῶνα. (δῆμος τῆς Ἱπποθοοντίδος πρὸς Ἐλευσίνας, ὁ δὲ τῆς Αἰαντίδος—Μαραθῶνα Phot. et Suidas, nisi quod Suidas Ἐλευθέραις pro Ἐλευσίνας et Ἱπποθοωντίδος). ἀφ' ἑκατέρων δὲ τῶν δήμων ὁ δημότης Οἰνέως:— 7. Ἰσαῖος—ποιήσεως om. 8. λεγόμενοι. καλεῖσθαι δέ φασιν (αὐτοὺς add. Phot. et Suidas) οὕτω διὰ τὸ 12. Ἱπποθοωντίδος (Ἱπποθοοντίδος Phot.), οἱ δὲ δημόται 15. προείρησαι (sic etiam Phot. προῄρησαι Suidas)—ἀμφοτέροις δὲ Λυσίας ἐχρήσατο:—

1. ΟἸΝΟ'Η Epitome. οἰναίη A. οἰναιὴ B.C. οἰνέη Ald.

— ΟἸΝΑΓΟΣ] οἰνέος A. quod alludit ad Epitomes scripturam Οἰνέως. Recta forma Οἰναῖος est, de qua constat ex inscriptionibus: v. Ross. de demis p. 129.

2. καὶ om. B.

— ἔφασαν] Loquitur orator de iis qui primum nuncium pugnæ Chæronensis Athenas attulerant, ut conjicit Sauppius Fragm. p. 282.

— ἐν Οἰνόῃ] ἐν οἰνέῃ A. Ald. ἐν οἰναίῃ B.C.

3. Ἱπποθωντίδος Sauppius. Scribebatur Ἱπποθοωντίδος hic et infra.

— δὲ om. B.C.

6. ἐν τῇ (τῇ om. C.) β'] c. 18.

7. ΟἸ'ΟΝ] οἶον A.B. Ald. hic et infra.

— τῆς om. C.

8. καλοῦνται δὲ delet Valesius.

— δέ post κεκλῆσθαι addidi ex N., qui κεκλῆσθαι δὲ οὕτω φησὶν ὁ φιλόχορος.

9. τῇ (τῇ om. B.C.) γ' Muellerus Fragm. Hist. vol. 1. p. 396. Libri τῇ ιγ' (ιγ^ω C. τρισκαιδεκάτῃ Ald.) Philochorum libro tertio de demorum originibus exposuisse alii Harpocrationis loci docent.

— μηδαμῶς] οὐδαμῶς B.

— οἰκητὸν Epitome. οἰκιστὸν B. C.G. εὐοίκητον A.Q. Ald.

10. δὲ om. B.C.

15. βούλει] βούλεσθαι B.C.G.

— προῄρησαι Ald. προείρηται

Οἰσύμη: Ἀντιφῶν ἐν τῷ κατὰ Λαισποδίου. πόλις ἐστὶ τῆς Θρᾴκης, καθά φασιν ἄλλοι τε καὶ Ἔφορος ἐν δ΄.

Ὅτι διαμαρτάνει Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας λέγων Πλαταιέας γεγράφθαι ἐν τῇ Ποικίλῃ στοᾷ· οὐδεὶς γὰρ τοῦτο εἴρηκεν, ὥσπερ οὐδὲ Κρατερὸς ἐν τῇ τῶν ψηφισμάτων συναγωγῇ.

Ὁ κάτωθεν νόμος: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. Δίδυμος "ἤτοι" φησὶ "τὴν ἡλιαίαν λέγει ὁ ῥήτωρ διὰ τὸ τῶν δικαστηρίων τὰ μὲν ἄνω, τὰ δὲ κάτω ὀνομάζεσθαι, ἢ διὰ τὸ σχῆμα τῆς ἐν τοῖς ἄξοσι γραφῆς βουστροφηδὸν γεγραμμένης τὸν ἀπὸ τῶν εὐωνύμων ἀρχόμενον νόμον κάτωθεν ὀνομάζει ὁ Δημοσθένης· ὅτι γάρ" φησι "βουστροφηδὸν ἦσαν οἱ ἄξονες καὶ οἱ κύρβεις γεγραμμένοι δεδήλωκεν Εὐφορίων ἐν τῷ Ἀπολλοδώρῳ. ἢ ἐπεί" φησι "τοὺς ἄξονας καὶ τοὺς κύρβεις ἄνωθεν ἐκ τῆς ἀκροπόλεως εἰς τὸ βουλευτήριον καὶ τὴν ἀγορὰν μετέστησεν Ἐφιάλτης, ὥς φησιν Ἀναξιμένης ἐν Φιλιππικοῖς."

1. ΟΙ'ΣΥ'ΜΗ. πόλις τῆς Θρᾴκης:— 1. 2. om. D. 3.—5. om. Suidas, post glossam proximam habet Epitome usque ad verbum εἴρηκεν, in quo etiam Photius desinit. 3. Πλαταιέας] πλατεαίας T. 6. Ἀριστοκράτους. ἢ τὴν ἡλιαίαν λέγει διὰ τὸ 9. τὸν ἀπὸ] ἢ ἀπὸ 10. ἀρχομένων νόμων Phot. 15. Φιλιππικοῖς D. Φιλιππικῷ ceteri.

(corruptum ex προείρησαι, quod est in Epitome) A.N. προαιρεῖσθαι B. C.G.

P. 219, 15. δύνασαι Ald. et Epitome. δύνασθαι A.B.C.N.

16. γνήσιος] ὁ λόγος addit A.

P. 220, 1, Λαισποδίου] λαισπουδίου C. et, ut opinor, B. λεσπουδίου A. Ald.

2. δ΄] τρίτῃ Ald.

3. Δημοσθένης] p. 1377, 8.

— Πλαταιέας] πλαταιαῖς A.C. πλατεαῖς B. Ald. πλατεέας N. Platæensibus Athenienses post pugnam Marathoniam leviores tantum honores, velut coronam auream, proedriam et quæ sunt similia, decrevisse conjicit Meinek. ad Steph. Byz. p. 716. Ampliora fuerunt quæ undecim annis post propter fortitudinem in prœlio Platæensi præstitam in eos collata esse præmia constat.

6. Δημοσθένης] p. 629, 16.

9. τὸν ἀπὸ Valesius. ἢ τὸν ἀπὸ libri.

10. ὁ om. B.

12. ἐπεὶ] ἐπειδὴ N.

13. τοὺς ἄξονας—Ἐφιάλτης] Cum his pugnare videtur quod Pollux 8, 128. tradidit, οἵ τε κύρβεις καὶ οἱ ἄξονες ἐν ἀκροπόλει πάλαι, αὖθις δ' ἵνα πᾶσιν ἐξῆν ἐντυγχάνειν εἰς τὸ πρυτανεῖον καὶ τὴν ἀγορὰν μετεκομίσθησαν. Quæ Meiero in Comment. de Vita Lycurgi p. xcvii. sic videntur conciliari posse ut aut leges alias in curiam alias in prytaneum, aut omnes ab Ephialta quidem in curiam, postea vero in prytaneum delatas esse dicas, aut quod prytaneum ab curia non longe abfuerit, perinde dici statuas in prytaneum atque in curiam deferri.

— ἐκ additum ex Epitome.

15. Φιλιππικοῖς ex Epitome pro Φιλιππικῷ. Idem librorum vitium notavimus s. v. Μύρτανον.

Ὅτι ἑξακισχίλια ἦν τάλαντα τὸ τίμημα τῆς Ἀττικῆς. Δημοσθένης ἐν τῷ περὶ τῶν συμμοριῶν φησὶν οὕτως "ἡμῖν δὲ τὸ τῆς "χώρας τίμημα ὑπάρχειν ἀφορμὴν ὀκτακισχίλια τάλαντα ἀκού"σεται." ἤτοι οὖν γραφικὸν ἁμάρτημά ἐστιν, ἢ ἴσως ὁ ῥήτωρ συναρπάζει, ἵνα δοκῇ πλείω τὴν ἀφορμὴν ἔχειν ἡ πόλις εἰς τὸν πρὸς βασιλέα πόλεμον. ὅτι γὰρ ἑξακισχίλια τάλαντα ἦν τὸ τίμημα τῆς Ἀττικῆς καὶ λυθέντος ἐν τοῖς ἑξῆς τοῦ λόγου φησὶν, λογισμὸν αὐτῶν διδοὺς ποικίλως, καὶ Φιλόχορος ἐν ί Ἀτθίδος.

Ὀλιγωρήσετε: ἀντὶ τοῦ ἀμελήσετε Δημοσθένης Φιλιππικοῖς. ὀλιγωρεῖν γὰρ λέγεται τὸ ὀλίγην ὤραν ἔχειν· ἔστι δὲ τὸ ὀλίγην ἀντὶ τοῦ οὐδὲ ὀλίγην, ὡς ἐν τῷ

ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς,

ὤρα δ' ἐστὶν ἡ φροντίς.

Ὁλοσχοίνοι: Αἰσχίνης ἐν τῷ περὶ πρεσβείας. Θεόφραστος δ' ἐν δ' περὶ φυτῶν, εἰπὼν τοῦ σχοίνου τρία εἴδη εἶναι, φησὶν ὡς ὁ τρίτος μεγέθει καὶ εὐσαρκίᾳ διαφέρων ὁλόσχοινος καλεῖται.

1—8. om. Suidas. 1. Δημοσθένης δὲ ἐν τῷ περὶ τῶν (τῶν om. Phot.) συμμοριῶν 2. φησὶν] δὴ φησὶν T. δὲ τὸ τῆς] δὲ τῆς 3. ὀκτ.] τὰ ὀκτ. 4. ἤτοι] εἴ τι T. ἁ. ἐστιν] ἐστιν ἁ. 5. δοκεῖ (δοκῇ Phot.) πλεῖον 6. πόλεμον:— 9. ὈΛΙΓΩΡΗΣΕΤΑΙ—ἀμελήσεται 10. ὤραν et infra ὤρα (libri Suidæ plerique ὥραν et ὥρα) 13. δ' ἐστιν ἡ] δὲ ἡ 14. ὉΛΟΣΧΟΙΝΩΙ] ὁλοσχοίνων Phot. περὶ τῆς παραπρεσβείας. Θεόφραστος δὲ τρία εἴδη σχοίνου φησὶν, ὧν ὁ τρίτος (sic D. Phot. et Suidas. ὃν τρίτος E.T.)

1. ὍΤΙ τὸ τίμημα τῆς ἀττικῆς ἑξακισχίλια ἦν τάλαντα C. Comparanda cum his quæ s. v. τίμημα dixit Harpocratio et locus Polybii 2, 62., de quibus nuper disputavit Bakius Schol. Hypomn. vol. 4. p. 120. 148.

— Δημοσθένης] p. 186.

2. περὶ] ὑπὲρ B.C.

— τῶν om. C.

4. ἤτοι] ἤ τι B.

5. συναρπάζει] Id est συναρπάζει τοὺς ἀκούοντας vel τὸν ἀκροατὴν, ut loquuntur scholiastæ Demosthenis p. 6, 16. 8, 13. 417, 21. 680, 22. Iidem συναρπάζειν τὸν δῆμον p. 124, 3. et συναρπάζειν ὡς ὁμολογούμενον p. 7, 16.

7. καὶ λυθέντος] λεληθότως N. καὶ αὖθις Dobræus.

8. αὐτῶν—ποικίλως] αὐτοῖς—ποικίλον B.C.

9. Δημοσθένης] p. 14, 10.

10. ἔστι δὲ] καὶ ἔστι C. ἔστι B.

11. ἐν τῷ] Homeri Il. 5, 800.

14. ὉΛΟΣΧΟΙΝΩΙ Epitome. ὁλοεχίνους libri.

— Αἰσχίνης] p. 31, 5.

— πρεσβείας] τῆς παραπρεσβείας Ald.

— δ' om. B.C.

— ἐν δ'] c. 12, 1.

15. φυτῶν Maussacus. αὐτῶν libri.

— σχοίνου Epitome. ἐχίνου A. B.C. αἰσχίνου Ald.

— φησὶν] φασιν Ald.

— ὡς Bekkerus. ὧν libri.

16. μεγέθει Epitome. τῷ μεγέθει libri.

— ὁλόσχοινος Epitome. ὁλοέχινος libri.

Ὁμηρεύοντας: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἐπὶ τῶν ἀναπεμφθέντων Λακεδαιμονίων Ἀλεξάνδρῳ. Κλείταρχος δέ φησιν ἐν τῇ εʹ νʹ εἶναι τοὺς δοθέντας παρὰ τῶν Λακεδαιμονίων ὁμήρους. ὅμηροι δέ εἰσιν οἱ ἐπὶ συμβάσει διδόμενοι· ὁμηρῆσαι γὰρ τὸ συμβαλεῖν· Ὅμηρος

ὡμήρησε δέ μοι παρ' ἑταίρων ἄγγελος ἐλθών.

Θεόπομπος δὲ ὁμηρεῖν φησὶ παρὰ τοῖς ἀρχαίοις λέγεσθαι τὸ ἀκολουθεῖν· τοὺς οὖν ἐπ' ἀκολουθίᾳ τῶν ὁμολογουμένων διδομένους ἐντεῦθεν ὁμήρους φησὶ λέγεσθαι.

Ὁμηρίδαι: Ἰσοκράτης Ἑλένῃ. Ὁμηρίδαι γένος ἐν Χίῳ, ὅπερ Ἀκουσίλαος ἐν γʹ, Ἑλλάνικος ἐν τῇ Ἀτλαντιάδι ἀπὸ τοῦ ποιητοῦ φησιν ὠνομάσθαι. Σέλευκος δὲ ἐν βʹ περὶ βίων ἁμαρτάνειν φησὶ Κράτητα νομίζοντα ἐν ταῖς Ἱεροποιίαις Ὁμηρίδας ἀπογόνους εἶναι τοῦ ποιητοῦ· ὠνομάσθησαν γὰρ ἀπὸ τῶν ὁμήρων, ἐπεὶ αἱ γυναῖκές ποτε τῶν Χίων ἐν Διονυσίοις παραφρονήσασαι εἰς μάχην ἦλθον τοῖς ἀνδράσι, καὶ δόντες ἀλλήλοις ὅμηρα νυμφίους καὶ νύμφας ἐπαύσαντο, ὧν τοὺς ἀπογόνους Ὁμηρίδας λέγουσιν.

Ὁμοερκές: Δείναρχος ἐν τῷ πρὸς τὴν Καλλίππου παραγραφὴν ἀντὶ τοῦ ὑφ' ἓν ἕρκος, τουτέστιν ὑπὸ τὸν αὐτὸν περίβολον.

Ὁμόσε ἰέναι: Ὑπερείδης ἐν τῷ κατ' Ἀθηνογένους φησὶν "ἀλλὰ "ὁμόσε βούλομαι τῷ λόγῳ τούτῳ ἐλθεῖν" ἀντὶ τοῦ παραβαλέσθαι.

2. ἄνω πεμφθέντων Suidas. Ἀλεξάνδρῳ. ἦσαν δὲ νʹ. ὅμηροι δέ εἰσιν 4. ὅμηροι δέ—] Hæc Suidas alii glossæ adjunxit s. v. ὅμηρον. ὁμηρῶσαι γὰρ τὸ συμβαλεῖν. Θεόπομπος 7. ἀρχαίοις] ἀχαιοῖς E.T. et Phot. λέγεσθαι post φησὶ habet Phot. 10. Ἰσοκράτης—Ὁμηρίδαι om. ὅπερ —ἀπὸ τῶν] ἀπὸ τοῦ ποιητοῦ ὠνομασμένον. οἱ δὲ φασὶν (ἄλλοι δέ φασιν Suidas) ἁμαρτάνειν τοὺς οὕτω νομίζοντας. ὀνομᾶσθαι (ὠνομάσθαι D. et Suidas. ὀνομάζεσθαι Phot.) 18. ἐν—παραγραφὴν om. 20. Ὑπερείδης—ἐλθεῖν om. 21. παραβαλέσθαι] παραβάλλεσθαι Phot.

1. Αἰσχίνης] p. 72, 35.
2. Ἀλεξάνδρῳ Epitome. ὁμήρους Ἀλεξάνδρῳ libri.
3. νʹ supplevi ex verbis Epitomes.
— εἶναι] ἐν ᾗ B.C.G.
— τῶν om. B.
4. ὁμηρῆσαι Blancardus. ὁμηρῶσαι libri.
— γὰρ τὸ om. C.
5. Ὅμηρος] Od. 16, 468.
6. ὡμήρησε] ὡμήρωσε C.
7. ἀρχαίοις ex Suida pro Ἀχαιοῖς.
8. ἀκολουθίᾳ] ἀκολουθεία A.
— ἐντεῦθεν om. C.
10. Ἰσοκράτης] p. 218 e.
11. Ἀτλαντιάδι] ἀγλαντιάδι B. Ald.
12. βίων] βίον A. τὸν βίον B.
13. ἐν ταῖς Ἱεροποιίαις] V. quæ s. v. προκώνια dicentur.
— ἀ. εἶναι] εἶναι ἀ. B.
15. ἐν] ἐν τοῖς C.
16. δόντες] διδόντες B.
18. ἐν τῷ—παραγραφὴν] ἐν τῇ—παραγραφῇ A. Ald.

λέγεται δὲ ἐκ μεταφορᾶς τοῦ ὁμόσε ταῖς λόγχαις ἰέναι, ἀντὶ τοῦ ἐξ ἐναντίας εἰς τὸ αὐτὸ ἔρχεσθαι καὶ μὴ στρέφεσθαι μηδὲ φεύγειν.

ʽΟμοῦ : Δημοσθένης ἐν τῷ κατ' Ἀριστογείτονός φησιν "εἰσὶν "ὁμοῦ δισμύριοι πάντες Ἀθηναῖοι" ἀντὶ τοῦ ἐγγύς. ἔστι δὲ πολὺ παρ' Ἀττικοῖς. καὶ Μένανδρός που "ἤδη γάρ ἐστι τοῦ τίκτειν "ὁμοῦ."

Ὀνήτωρ : Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως. πρὸς τοῦτον ἂν εἶεν οἱ γεγραμμένοι Δημοσθένει περὶ τῆς ἐξούλης λόγοι. ὅτι δὲ τῶν χορηγησάντων ἦν ʽΗλιόδωρος περὶ τῶν Ἀθήνησι τριπόδων.

Ὀνομάζων : ἀντὶ τοῦ φράζων, ἑρμηνείᾳ χρώμενος, Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Ὀξυθύμια : ʽΥπερείδης ἐν τῷ κατὰ Δημάδου φησὶ "περὶ οὗ "πολλῷ ἂν δικαιότερον ἐν τοῖς ὀξυθυμίοις ἡ στήλη σταθείη ἢ ἐν τοῖς "ἡμετέροις ἱεροῖς." ἔνιοι μὲν, ὧν ἐστι καὶ Ἀρίσταρχος, ὀξυθύμια λέγεσθαί φασι τὰ ξύλα ἀφ' ὧν ἀπάγχονταί τινες, ἀπὸ τοῦ ὀξέως τῷ θυμῷ χρῆσθαι· ταῦτα δ' ἐκκόπτοντες ἐξορίζουσι καὶ καίουσι. Δίδυ-

1. τοῦ prius om. 3. ʽΟΜΟΥ—] Habet hanc gl. Photius, omisit Suidas substituta alia multo copiosiore, quæ ipsa quoque apud Photium legitur. 3. Ἀριστογείτονος ὁμοῦ φησὶν δισμύριοι (Ἀριστογείτονος φησὶν, ὁμοῦ δισμύριοι Phot.) 4. ἔστι δὲ τοῦτο πολὺ 5. ἤδη τοῦ τίκτειν γὰρ ὁμοῦ (ἤδη γὰρ τοῦ τίκτειν ὁμοῦ Phot.) 7. ʼΟΝΗΤΩΡ. πρὸς ὃν Δημοσθένης ἔγραψεν τοὺς ἐξούλης λόγους. εἷς δὲ ἦν τῶν χορηγησάντων, οὗ καὶ Ἰσοκράτης ἐν τῷ περὶ (τῆς add. D.) ἀντιδόσεως μέμνηται :— 11. ἐν τῷ om. Suidas, ἐν τῷ ὑπὲρ Κτ. om. Phot. 12. ʼΟΞΥΘΥΜΙΑ (ὀξυθύμια Phot. et Suidas) 13. ὀξυθύμοις 14. ὀξυθυμία (ὀξυθύμια Phot. et Suidas) 15. τὰ om. D.

1. τοῦ ante ὁμόσε additum ex N.
2. καὶ μὴ] τὸ δὲ B.C.
3. Δημοσθένης] p. 785, 23.
— εἰσὶν om. C.
7. Ἰσοκράτης] p. 442. §. 9. ed. Bekk. Oxon.
8. οἱ om. B.
— Δημοσθένει Bekkerus. δημοσθένους libri.
— περὶ] ἐν τῷ περὶ B.C.
9. ἦν εἰς Ald., quod Epitomes auctor legisse videtur. ἦν cum lacuna A., sine lacuna B.C. ὅτι ἦν pendet ab verbo δηλοῖ intellecto.
— Ἀθήνησι Bekkerus. ἐν ἀθήνησι libri.
— τριπόδων] Tripodes intelligendi ab victoribus ludorum musicorum dedicati: de quibus dixit Boeckh. Corp. Inscr. vol. 1. p. 342.
10. Δημοσθένης] p. 237, 12. οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν, μάλα σεμνῶς ὀνομάζων, ἀλλὰ τὸ ταὐτὰ συμφέρειν.
13. ἡ στήλη] Loquitur de decreto proxeniæ Euthycrati tributæ. Quæ decreta lapidibus inscripta in templis proponi solita sunt: v. Meier. in dissert. de proxenia p. 24. 25. Boehneck. Quæst. de orat. Atticis p. 680. SAUPP. Fragm. p. 288.
14. μὲν] μὲν οὖν N.
15. φασι τὰ ξ.] τὰ ξ. φασὶν B.
— ἀπὸ] ἀντὶ C.
16. δ' ἐκκόπτοντες] δὲ κόπτοντες C.

μος δὲ Αὐτοκλείδου λέξιν παραγράψας ἐκ τῶν ἐξηγητικῶν φησιν, ὀξυθύμια τὰ καθάρματα λέγεται καὶ ἀπολύματα· ταῦτα γὰρ ἀποφέρεσθαι εἰς τὰς τριόδους, ὅταν τὰς οἰκίας καθαίρωσιν. ἐν δὲ τῷ ὑπομνήματι τῷ κατὰ Δημάδου τὰ ἐν ταῖς τριόδοις φησὶν Ἑκαταῖα, ὅπου τὰ καθάρσια ἔφερόν τινες, ἃ ὀξυθύμια καλεῖται. Εὔπολις Δήμοις

δν χρῆν ἔν τε ταῖς τριόδοις κἀν τοῖς ὀξυθυμίοις
προστρόπαιον τῆς πόλεως κάεσθαι τετριγότα.

ἔστι τοὔνομα καὶ παρὰ Πυθέᾳ ἐν τῷ κατὰ Ἀδειμάντου.

Ὀπισθόδομος: Δημοσθένης ἐν τῷ περὶ συντάξεως "ἀνέῳξαν "δήπου πρώην τινὲς τὸν ὀπισθόδομον." ὁ οἶκος ὁ ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς οὕτω καλεῖται, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα.

Ὀργάς: Δημοσθένης ἐν τῷ περὶ συντάξεως. ὀργὰς καλεῖται τὰ λοχμώδη καὶ ὀρεινὰ χωρία καὶ οὐκ ἐπεργαζόμενα, ὅθεν καὶ ἡ Μεγαρικὴ ὀργὰς προσωνομάσθη τοιαύτη τις οὖσα, περὶ ἧς ἐπολέμησαν Ἀθηναῖοι Μεγαρεῦσιν.

Ὀργεῶνας: Ἰσαίου λόγος ἐστὶ πρὸς ὀργεῶνας, ὀργεῶνες δ' εἰσὶν οἱ ἐπὶ τιμῇ θεῶν ἢ ἡρώων συνιόντες· ὀργιάζειν γάρ ἐστι τὸ θύειν καὶ

1. Αὐτοκλείδου—ἐξηγητικῶν om. 2. λέγεσθαι 3. καθαίρωσιν :— 10. Glossam similem substituit Suidas. 11. ὁ οἶκος—καλεῖται] ἐκαλεῖτο δὲ οὕτως ὁ ὄπισθεν τοῦ νεὼ τῆς Ἀθηνᾶς οἶκος, ἐν ᾧ ἀπετίθεντο τὰ χρήματα :— 13. Δημοσθένης—καλεῖται om., habet D. ὀργὰς κ.] οὕτω κ. D. 15. οὖσα :— 17. ἐστὶ πρὸς] ἐστὶν εἰς

1. ἐξηγητικῶν] ἐξηγητῶν B.C.
3. εἰς] ἐς B.
4. τῷ κατὰ] εἰς τὸν κατὰ Maussacus. Fortasse τῷ εἰς τὸν κατὰ scribendum, nisi brevior illa loquendi ratio placuit grammatico.
— τριόδοις] διόδοις B.
— Ἑκαταῖα, ὅπου Valesius. Libri ἑκαταῖος (ἑκαταῖα affertur ex O.) ποῦ vel, quod est in Ald., ἑκαταῖός που.
7. τε addidit Porsonus Advers. p. 286.
— ταῖς] τοῖς B., om. C.
— τοῖς] τοῖσιν A.C. Ald.
8. προστρόπαιον Valesius. πρὸς τὸ τρόπαιον libri, quæ verba B. a m. rec. habet. Metrum versuum est quod grammatici Eupolideum vocant.
8. κάεσθαι Bekkerus. Libri καίεσθαι.
— τετριγότα Porsonus. περιτετριγότα A.C.G. Ald. περιτετριγότα B.
9. Ἀδειμάντου Ruhnk. ad Rutil. p. 41. Legebatur Ἀδείμαντος.
10. Δημοσθένης] p. 170, 6.
— συντάξεως Epitome. Libri τῆς συντάξεως.
12. ἀπετίθεντο] ἀπετίθουν A.
13. In margine hujus glossæ adscriptum in N. ὄχετος δῆμος τῆς λεοντίδος. Quod fictum ex p. 231, 5.
— Δημοσθένης] p. 175, 13.
14. ὀρεινὰ] ὀχληρὰ C.
— ἡ om. C.
15. ἐπολέμησαν Ἀθηναῖοι N. Ceteri ἐπολέμησεν Ἀθηνᾶ.
17. Ἰσαίου] ἰσαῖος οὗ C.

τὰ νομιζόμενα δρᾶν, ἤτοι παρὰ τὸ ὀρέγειν τὼ χεῖρε, ἢ παρὰ τὰ ὄργια, ἢ διὰ τὸ ἐν ταῖς ὀργάσι καὶ τοῖς ἄλσεσι τὰ ἱερὰ δρᾶν. οἱ μέντοι ποιηταὶ ἔταττον τοὔνομα ἁπλῶς ἐπὶ τῶν ἱερέων, ὡς Ἀντίμαχός τέ που καὶ Αἰσχύλος ἐν Μυσοῖς. μήποτε δὲ ὕστερον νενόμισται τὸ ἐπὶ τιμῇ τινὰς τῶν ἀποθανόντων συνιέναι καὶ ὀργεῶνας ὁμοίως ὠνομάσθαι, ὡς ἔστι συνιδεῖν ἐκ τῶν Θεοφράστου διαθηκῶν.

Ὀργέων: ἀντὶ τοῦ ὀργεώνων Λυσίας ἐν τῷ περὶ τοῦ Θεοπόμπου κλήρου.

Ὀρικὰ ζεύγη: τὰ τῶν ὀρέων, τουτέστι τῶν ἡμιόνων, Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας· ὅτι γὰρ ὀρέας ἐκάλουν τὰς ἡμιόνους καὶ Ὅμηρος καὶ Ἀριστοφάνης ἐν Βατράχοις δηλοῖ.

Ὀριγνηθῆναι: ἀντὶ τοῦ ἐπιθυμῆσαι Ἀντιφῶν Ἀληθείας α΄.

Ὀρκάνη: Λυκοῦργος ἐν τῷ κατὰ Λυκόφρονος β΄. μήποτε ὁ φραγμὸς, τουτέστι τὸ περίφραγμα καὶ ἡ αἱμασιὰ, οὕτω καλεῖται, παρὰ τὸ ἐρύκειν ἢ παρὰ τὸ ἕρκος εἶναι. Ὅμηρος

αἱμασιὰς λέξαντες ἀλωῆς ἔμμεναι ἕρκος.

Ὀρνιθευτής: ὁ ὀρνιθοθήρας· Δείναρχος κατὰ Προξένου, Πλάτων

1. δρᾶν] ὁρᾶν ἤτοι] ἢ 2. δρᾶν] δραμεῖν (δρᾶν Phot. et Suidas) 3. ὡς—Μυσοῖς om. 5. ὀργεῶνας ὀνομάζεσθαι. 7. Λυσίας :— Gl. om. Phot. 9. ἡμιόνων :— 12. ἐπιθυμῆσαι :— 13. ἐν τῷ om. β΄ om. D. 14. οὕτως 16. αἱμασιὰς] ἐν μασίαις (αἱμασιὰς Phot. et Suidas) E.T. 17. ὀρνιθοθήρας :—

1. δρᾶν Valesius. Libri ὁρᾶν, in quo vitio non solum Epitome, sed etiam Moschopulus Σχεδ. p. 77. consentit.

— ἤτοι—δρᾶν om. B.

2. τοῖς ἄλσεσι] ταῖς ἄλσεσι A. Ald.

— ἄλσεσι] ἕλεσι N.

3. ἔταττον] καὶ ἔταττον A.

—Ἀντίμαχος] Antimachi Æschylique versus Photius in alia de voc. ὀργεῶνες glossa servavit, quam repetivit Suidas.

— τέ που] πού φησι B.C.

4. Αἰσχύλος] Fragm. 142.

— Μυσοῖς] μύσταις B.C. Ald. et fortasse A. Μυσοῖς primus posuit Blancardus.

6. Θεοφράστου διαθηκῶν] Servavit Diog. L. 5, 54. ubi ὀργεώνων nomen excidisse conjiciebat Salmasius: v. Menag. ad h. l.

7. 8. om. C.

7. τοῦ addidit Sauppius Fragm. p. 189.

8. κλήρου] κλήρῳ B. Ald.

9. τουτέστι Epitome. τουτέστι τὰ libri.

— Αἰσχίνης] p. 42, 36. 64, 30.

10. πρεσβείας] παραπρεσβείας Ald.

11. Ὅμηρος] Qui οὐρῆας dixit Il. 1, 50. et alibi.

— Βατράχοις] v. 290.

12. ὈΡΙΓΝΗΘῆΝΑΙ] ὀριγνησθῆναι A. Ald.

13. ὁ] καὶ ὁ B.C.

15. εἶναι additum ex Epitome.

— Ὅμηρος] Od. 24, 224.

17. ὁ om. B.C.

— κατὰ] ἐν τῷ κατὰ B.C.

ἢ Κάνθαρος Συμμαχίᾳ. ἔστι δὲ καὶ ἐν τῇ νέᾳ κωμῳδίᾳ δρᾶμα Ὀρνιθευτὴς Νικοστράτου.

Ὅρος: οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, δηλοῦντα ὅτι ὑπόκεινται δανειστῇ· Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν καὶ Μένανδρος Παρακαταθήκῃ.

Ὅρον: σκεῦός τι γεωργικὸν, ὡς Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὑποσημαίνει. μήποτε μέντοι τὸ ὅρον παρά τε Αἰσχύλῳ ἐν Κερκύονι καὶ παρὰ Μενάνδρῳ ἐν β' Ἐπικλήρῳ σημαίνει ξύλον τι, ᾧ τὴν πεπατημένην σταφυλὴν πιέζουσιν.

Ὀρρωδεῖν: ἀντὶ τοῦ φοβεῖσθαι Ἀνδοκίδης ἐν τῷ περὶ τῆς ἀδείας. πολὺ δ' ἐστὶ τοὔνομα παρ' αὐτοῖς. Ὀρρωδία δὲ τὸ δέος· Δημοσθένης ἐν δημηγορικοῖς προοιμίοις.

Ὄρυγμα: ἰδίως οὕτως ἐκαλεῖτο ἐφ' οὗ οἱ κακοῦργοι ἐκολάζοντο Ἀθήνησι· Λυκοῦργος κατ' Ἀριστογείτονος.

Ὅσιον: Ὑπερείδης ἐν τῷ πρὸς Ἀριστογείτονά φησι "καὶ τὰ "χρήματα τά τε ἱερὰ καὶ τὰ ὅσια," ὅ τε Ἰσοκράτης Ἀρεοπαγιτικῷ "καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις." ὅτι δὲ τὰ ὅσια τὰ δημόσια δηλοῖ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους σαφῶς διδάσκει περὶ τούτων·

4. δηλοῦντα] ἃ ἐδήλου 5. οὕτως Δημοσθένης καὶ Μένανδρος:— 6. ὡς Ἰσαῖος δηλοῖ. μήποτε μέντοι τὸ 7. Αἰσχύλῳ καὶ παρὰ Μενάνδρῳ ξύλον τι σημαίνει 8. ᾧ] ὁ E.T.D. 10. φοβεῖσθαι. καὶ ὀρρωδία τὸ δέος:— Duas alias gl. habent Phot. et Suidas. 13. ἐκολάζοντο:— 16. ὅσια καὶ Ἰσοκράτης, τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις, τὰ δημόσια ὅσια λέγοντες. καὶ Δημοσθένης δὲ ἐν τῷ κατὰ Τιμοκράτους σαφῶς διδάσκει τοῦτο. Δίδυμος δέ φησι διχῶς λέγεσθαι τὸ ὅσιον—ἰδιωτικόν:—

1. δὲ om. B.

4. χωρίοις γράμματα Epitome. Libri χωρὶς γράμμα, quod est in A., vel χωρὶς γραμμάτων ut B.C., vel χωρὶς γράμματος Ald. ὅρος χωρίου est in titulis ap. Boeckh. Corp. Inscr. vol. 1. p. 484. 485, ut monet Bekkerus.

5. Δημοσθένης] p. 1029, 27.

6. ὍΡΟΝ] ὅρος B. ὅρος N.

— ὡς om. C.

7. τὸ] τὸν B. καὶ τὸν C.

— ὅρον] ὅρος N.

— Αἰσχύλῳ] Fragm. 105.

— Κερκύονι Salmasius. κεραυνῶνι libri, quod ex κερκύωνι corruptum, ut nomen hoc plerumque in codicibus scribitur.

8. β'] δευτέρῳ Ald. Debebat δευτέρᾳ.

— Ἐπικλήρῳ] ἐπικλήρων C.

— ᾧ] ὁ C.

10. Ἀνδοκίδης] p. 20, 30.

11. Δημοσθένης] ὡς δημοσθένης A.

13. ἐφ' οὗ] ἀφ' οὗ C. ὅπου Sauppius Fragm. p. 260. qui de hoc loco dixit in dissert. de demis urbanis p. 18.

16. Ἰσοκράτης] p. 153 b.

18. Δημοσθένης] p. 738, 7. κλέπται καὶ ἱερόσυλοί εἰσι, τὰ μὲν ἱερὰ—

— περὶ] ἐπὶ Ald.

"καὶ τὰ μὲν ἱερὰ, τὰς δεκάτας τῆς θεοῦ καὶ τὰς πεντηκοστὰς τῶν "ἄλλων θεῶν, σεσυληκότες" καὶ μετ' ὀλίγα "τὰ δὲ ὅσια ἃ ἐγίνετο "ἡμέτερα κεκλοφότες." Δίδυμος δὲ "διχῶς" φησὶν "ἔλεγον τὸ "ὅσιον, τό τε ἱερὸν καὶ τὸ ἰδιωτικόν."

Ὀσχοφόροι: Ὑπερείδης ἐν τῷ κατὰ Δημέου, εἰ γνήσιος. περὶ τῶν ὀσχοφόρων ἄλλοι τε εἰρήκασι καὶ Φιλόχορος ἐν τῇ β'. ὁ δὲ Ἴστρος ἐν τῇ ιγ' περὶ Θησέως λέγων γράφει οὕτως, ἕνεκα τῆς κοινῆς σωτηρίας νομίσαι τοὺς καλουμένους ὀσχοφόρους καταλέγειν δύο τῶν γένει καὶ πλούτῳ προυχόντων. ἡ δὲ ὄσχη κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον· ταύτην δὲ ὀρεσχάδα ἔνιοι καλοῦσιν.

Ὅτι νόμος ἐστὶν ὑπὲρ μ' ἔτη γενόμενον χορηγεῖν παισὶν Αἰσχίνης τε ἐν τῷ κατὰ Τιμάρχου φησὶ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Ὅτι ξένους τινὰς ἑαυτοῦ αἰχμαλώτους σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργείῳ καὶ δεδεμένους παρὰ πότον ἐξῃτήσατο παρὰ Φιλίππου Σάτυρος Αἰσχίνης μὲν ἐν τῷ περὶ τῆς πρεσβείας φησὶ, Δημοσθένης δ' ἐν τῷ κατ' Αἰσχίνου φησὶν ὅτι Ἀπολλοφάνους θυγατέρας ἐξῃτήσατο, καὶ ἔοικε μᾶλλον ἀληθεύειν· καὶ γὰρ Ἀριστοτέλης ἔν τινι τῶν πρὸς Φίλιππον ἐπιστολῶν λέγει ὡς Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνους θυγατέρας ἀφῆκεν.

5.—8. Ὑπερείδης—καταλέγειν om. 8. δύο] δύο ἦσαν 9. προεχόντων E.T.D. et Suidas. διαφερόντων Phot. 10. δ' ἔνιοι ὀρεσχάδα καλοῦσιν :— 11. παισίν :— 15. ἀμπελουργίῳ (ἀμπελουργείῳ Phot.) 16. ἐν τῷ παραπρεσβείας (ἐν τῷ περὶ παραπρεσβείας Phot.) φησὶν, ὁ δὲ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου λέγει ὅτι τὰς Ἀπολλοφάνους—λέγει, Σατύρῳ

2. σεσυληκότες ex Demosthene restitutum pro σεσυληκότας.

— ἐγίνετο] ἐγένοντο C. ἐγένετο B. Ald.

— ἡμέτερα] ὑμέτερα apud Demosthenem.

5. Δημέου Blancardus. Libri δημαίου.

— γνήσιος] ὁ λόγος addit A.

6. β' Boeckhius in comment. de Philochoro in Actis Acad. Boruss. p. 11. Legebatur ιβ', quod δωδεκάτῃ scriptum in Ald.

— ὁ δὲ Ἴστρος ἐν τῇ ιγ' om. Ald.: habent codices. Ex suis primus supplevit Maussacus.

7. Θησέως] θέσεως B.C. Ald.

9. δὲ om. A.

11. Αἰσχίνης] p. 2, 25.

12. τῇ] τῇ τῶν C.

14. τινας] καί τινας B.C.

15. ἀμπελουργείῳ] Scribebatur ἀμπελουργίῳ. Correxi ex Æschine p. 49, 13.

— πότον] πόντον B.C.

16. πρεσβείας] παραπρεσβείας Ald.

17. Δημοσθένης—φησὶν om. C.

— Δημοσθένης] p. 401 extr.

— θυγατέρας] θυγατέρα A.

— καὶ—ἀληθεύειν om. C.

18. γὰρ om. Ald.

19. Φίλιππον] φιλίππου Ald.

Ὅτι οἱ ἁλόντες ἐπ' ἀκουσίῳ φόνῳ ἐξουσίαν εἶχον εἰς διοίκησιν τῶν ἰδίων, Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους ὑποσημαίνει καὶ Θεόφραστος ἐν τῷ ιγ' τῶν Νόμων δηλοῖ.

Ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίους καταλίποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένου, Ἀντιφῶν ἐπιτροπικῷ κατὰ Καλλιστράτου καὶ Σόλων ἐν κα' Νόμων.

Ὅτι τὰ ἐπικηρυττόμενά τισι χρήματα ἐπὶ τῶν βωμῶν ἐτίθετο εἴρηκεν Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην τὸν Σωκρατικὸν, εἰ γνήσιος ὁ λόγος.

Ὅτι πρὸς τὴν φυλὴν τοῦ κεκτημένου αἱ πρὸς τοὺς δούλους λαγχάνονται δίκαι Ἰσαῖος ἐν ἀπολογίᾳ ἀποστασίου πρὸς Ἀπολλόδωρον δηλοῖ.

Ὅτι παιδὶ καὶ γυναικὶ οὐκ ἐξῆν συμβάλλειν πέρα μεδίμνου κριθῶν Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀριστάρχου κλήρου φησίν.

Ὅτι χιλίας ἐζημιοῦντο αἱ κατὰ τὰς ὁδοὺς ἀκοσμοῦσαι γυναῖκες Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας β' εἴρηκεν. Κρώβυλος δὲ ὁ

1. *ἐξουσίαν* om. (habent deteriores Suidæ libri) 2. *Δημοσθένης δὲ* (*τε* Phot. et Suidas) 3. *δηλοῖ* om. 5. *καταλείποιεν* (*καταλίποιεν* Phot. et deteriores Suidæ libri) *ποιησαμένου* :— 8. *ἐτίθετο* :— 11. *κτησαμένου* 12. *δίκαι* :— 14. *συμβάλλειν*] *ἐμβάλλειν* *κριθῶν* :— 16. *γυναῖκες* :—

1. *ἐξουσίαν* Ald., quod ex vulgatis Suidæ libris illatum. Nam Suidæ codex optimus id omittit, neque habet Epitome. Pro eo in A. est *φρόντονα*, in Q. *φόρτωνα*, in B. C.G.P. *φρόντωνα*, quod etiam in D. legitur post *ἰδίων*. De N. tacetur.

2. *Δημοσθένης*] Videtur ad ea spectare quæ p. 634. dicuntur.

5. *καταλίποιεν*] *κατέλιπον* B.C.

6. *κατὰ* addidit Sauppius Fragm. p. 139. qui similium titulorum exempla apud Meier. de lite Att. p. 443. comparat.

— *κα'*] *εἰκοστῇ πρώτῃ* Ald. *κα*" C.

9. *εἰ γνήσιος ὁ λόγος* om. C.

11. *φυλὴν*] *φυλακὴν* C. ut alibi interdum. Verbis *πρὸς τὴν φυλὴν* aut magistratum nobis ignotum aut quadraginta viros (de quibus Herm. Ant. Gr. §. 146, 10.) indicari conjecit Meier. in comment. de diætetis Athen. p. 24. Sauppio (Fragm. p. 228.) de diætetis publicis cogitandum esse videtur, quos ex universis Atheniensibus electos esse, quum vero electi essent, cuique tribui sortitione suos diætetas assignatos esse videri.

14. *συμβάλλειν*] *ἐμβάλλειν* A. superscripto *γρ. συμ.*

15. *τοῦ* om. B.

— *Ἀριστάρχου*] Legebatur *Ἀλεξάνδρου*. Quæ oratio ab nemine memorata. Locus Isæi est in orat. *περὶ τοῦ Ἀριστάρχου κλήρου* p. 80, 30. Hujus igitur nomen restitui cum Valesio.

— *κλήρου* Maussacus pro *κλήρῳ*.

17. *Ἀρισταγόρας*] *ἀρισταγόρου* Ald.

κωμικός φησι τοῦ Φιλιππίδου τὸν νόμον εἶναι τὸν περὶ τούτων κείμενον.

ΟΥ̓Κ ἘΠῚ ΤΗ͂Σ ΑΥ̓ΤΗ͂Σ ὉΡΜΕΙ͂ ΤΟΙ͂Σ ΠΟΛΛΟΙ͂Σ: Δημοσθένης *ἐν τῷ ὑπὲρ* Κτησιφῶντος. *παροιμία ἐστὶν ἐλλιπῶς λεγομένη· προσυπακουστέον οὖν ἔξωθεν τὸ ἀγκύρας.*

ΟΥ̓ΣΊΑΣ ΔΊΚΗ: *οἱ δικαζόμενοι περὶ χωρίων ἢ οἰκιῶν πρὸς τοὺς ἔχοντας οὐσίας ἐδικάζοντο τὴν δευτέραν δίκην· ἡ δὲ προτέρα ἦν τῶν μὲν οἰκιῶν ἐνοικίου, τῶν δὲ χωρίων καρποῦ, τρίτη δὲ ἐπὶ τούτοις ἐξούλης. καὶ ἐξῆν τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων καὶ εἰ τὴν δίκην τὴν τοῦ καρποῦ ἢ τοῦ ἐνοικίου καὶ εἰ τὴν δευτέραν ἡττηθεῖεν τὴν τῆς οὐσίας· εἰ δὲ καὶ ἐξούλης ἁλοῖεν, οὐκέτι ἐξῆν ἐπικρατεῖν, ἀλλ' ἐξίστασθαι ἔδει ἤδη τῶν κτημάτων τοῖς καταδικασαμένοις. ταῦτα δὲ ἔστι μὲν καὶ παρ' ἄλλοις ῥήτορσιν, ἀκριβέστατα δὲ εἴρηται* Ἰσαίῳ *ἔν τε τῷ πρὸς* Τιμωνίδην *περὶ χωρίου καὶ ἐν τῷ πρὸς* Δωρόθεον *ἐξούλης. διείλεκται δὲ περὶ τῆς δίκης καὶ* Θεόφραστος *ἐν ιη' περὶ νόμων.*

Ὀ͂ΦΡΎΝΙΟΝ: Δημοσθένης *ἐν τῷ πρὸς* Ἀπατούριον. *πόλις ἐστὶ τῆς* Τρῳάδος, *ὡς δηλοῖ* Ἀνδροτίων *ἐν γ'* Ἀτθίδος.

Ὀ͂ΧΕΙ͂ΟΝ: *ἀντὶ μὲν τοῦ ὄχημα* Δείναρχος *ἐν ἀπολογίᾳ πρὸς* Ἀντιφάνην *περὶ τοῦ ἵππου, ἀντὶ δὲ τοῦ εἰς ὀχείαν ἀποδεδειγμένου ὁ*

3. 'ΟΡΜΕΙ͂] *ὁρμῇ* 4. *ἐλλειπῶς* (*ἐλλιπῶς* Phot. et Suidas. *ἐλλειπτικῶς* D.) *εἰρημένη. προσυπακουστέον* (*ὡς ὑπακουστέον* E.T.) *δὲ ἔξωθεν* 5. *τὸ ἀγκύρας*] *τῆς ἀγκύρας* libri Suidæ uno excepto. 7. *τῶν μὲν οἰκιῶν ἦν* (non Phot. et Suidas) 8. *χωρίων*] *χωρῶν* *τούτοις*] *τούτων* 9. *καὶ εἰ τὴν δίκην*] *κἂν τὴν δίκην* (*καὶ τὴν δίκην* Phot. et Suidas) 10. *τὴν* post *δίκην* om. *καὶ εἰ*] *εἰ καὶ* (*ἢ καὶ* Phot. et Suidas) 11. *ἐπικρατεῖν*] *κρατεῖν* 12. *ἔδει* post *τῶν κτημάτων* *καταδικασαμένοις*:— 18. *Τρῳάδος*:— (Verba *π. ἐστὶ τῆς Τ.* ante *Δημοσθένης* ponit Phot.) 19. *Δείναρχος ἐχρήσατο. ἐχρήσατο δὲ ὁ αὐτὸς ἀντὶ τοῦ εἰς ὀχείαν ἀποδεδειγμένον. φησὶν γάρ,* (*γοῦν* D.) *ὀνοῦνταί* (*ὠνοῦνται* Suidas) *μοι τῶν ἵππων ὀχεῖον. Λυκοῦρ-*

3. ΤΗ͂Σ ΑΥ̓ΤΗ͂Σ] *τοῖς αὐτοῖς* C.

— *Δημοσθένης*] p. 319, 18.

4. *ἐλλιπῶς* B. C. N. Ald. *ἐλλειπῶς* A.

8. *τρίτη—τὴν τοῦ καρποῦ* om. C.

— *δὲ* post *τρίτη* additum ex Epitome.

— *τούτοις*] *τῆς* B.

9. *τὴν δίκην*] *τὴν πρώτην δίκην* Bekkerus. Non opus.

11. *δὲ*] *δὲ καὶ* B.C.

17. 'ΟΦΡΎΝΙΟΝ ex Epitome pro *'Οφρύνειον*.

— *Δημοσθένης*] p. 899, 1.

— *ἐστὶ*] *δέ ἐστι* C.

19. *μὲν τοῦ*] *τοῦ μὲν* C.

20. *τοῦ ἵππου*] *τῆς ἵππου* C.

— *ἀποδεδειγμένον*] *ἀποδεδειγμένου* A.B.

αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· φησὶ γὰρ "ὠνοῦνταί μοι τὸν ἵππον ὀχεῖον." Λυκοῦργος δ' ἐν τῷ περὶ διοικήσεως γείτονας τοῦ ὀχείου φησί· μήποτε δὲ ἐπὶ τόπου τινὸς, ἐν ᾧ ὀχεῖαι γίνονται κτηνῶν ἢ ὀχήματα μισθοῦται.

Π.

Παγασαί: Δημοσθένης ἐν Φιλιππικοῖς. ἐπίνειόν ἐστι Φεραίων αἱ Παγασαὶ, ὡς Θεόπομπος ἐν τῇ ε' τῶν Φιλιππικῶν δηλοῖ.

Παιανιεῖς καὶ Παιονίδαι: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος "ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα ἀνεψιὸν "ὄντα." Δίδυμος γραπτέον εἶναί φησι Παιανέα, χωρὶς τοῦ ι. εἰσὶ δὲ διττοὶ δῆμοι Παιανιέων τῆς Πανδιονίδος φυλῆς, οὓς Διόδωρος κα-

γος—διοικήσεως (οἰκήσεως Phot.)—μήποτε (καὶ μήποτε Phot. et Suidas) ἐπὶ τόπου τινὸς ἔλαβον τὴν λέξιν ἐν ᾧ—μισθοῦται:—

6. ΠΑΓΑΣΑΊ] Παγάς Suidas. ἐν] ἐν τοῖς Phot. Φεραίων] Φερέον:— φορέων (sic, non φερέων) D. Φεραῖον Suidas. Φεραίων Photius. 8. ΠΑΙΑΝΙΕΓΣ καὶ ΠΑΙΟΝΙΔΑΙ. δῆμοι διττοί εἰσι Παιανίων (Παιανιέων Phot.) τῆς Πανδιονίδος φυλῆς, ὡς Διόδωρος καλεῖσθαι φησὶ Παιανίαν Παιαναίαν (Παιανίαν Phot.) καθύπερθεν καὶ Παιανίαι (Παιανίαν Phot. Παιανιαίαν Suidas) ὑπένερθε (ὑπένερθεν Phot. et Suid.) τὸν δὲ δημότην ἑκατέρου δήμου καλεῖσθαι ὁμοίως Παιανιαία (παιανιαῖα Suidæ libri optimi pro vulgato Παιανιέα, quod est ap. Phot.). διαφέρουσι δὲ οὗτοι τῶν Παιονίδων (Παιονιδῶν Phot. Παιανίδων Suidas). δῆμος δέ ἐστι καὶ οὗτος τῆς Λεοντίδος:—

1. γὰρ ex Epitome additum.
— ὠνοῦνταί μοι τὸν ἵππον ὀχεῖον] *Emunt s. conducunt equum meum ad admissuram*, ut recte interpretatur Stephanus Thes. vol. 5. p. 2465. ed. Paris. Nam ὀχεῖον non adjectivum est, quæ quorundam opinio fuit, sed substantivum. Pro adjectivo qui habuit Saupp. Fragm. p. 263. τὸν ἵππον τὸν ὀχεῖον scripsit.
2. δ' om. B.C. Ald.
— διοικήσεως] τῆς διοικήσεως B.C.
3. κτηνῶν Epitome. Libri τῶν κτηνῶν.
— ἢ—μισθοῦται] ἢ—ὀχεῖται C.
6. Δημοσθένης] p. 11, 18. 15, 18. 21, 14.
— ἐν om. C.
— ἐστι ex Epitome pro εἰσι.
— Φεραίων] φερέων A. Ald.
7. ε' om. B.C.
8. ΠΑΙΑΝΙΕΙ΄Σ] παιανεῖς C.
— ΠΑΙΟΝΙ΄ΔΑΙ] παιανίδαι in Lexico cod. Coisl. 177. ap. Montef. p. 238.
— Αἰσχίνης] p. 60 extr.
9. ἐγράψατο—Δημομέλη] ἐγράψαντο—δημοσία libri. Correctum ex Æschine.
10. Δίδυμος—χωρὶς τοῦ ι' om. C.
— Παιανέα Bekkerus. Libri παιανιέα. ΠΑΙΑΝΕΥΣ apographorum quorundam vitium pro ΠΑΙΑΝΙΕΥΣ in inscr. 522. et 747. ap. Boeckhium memorat Bekkerus. Constans in inscriptionibus scriptura Παιανιεύς est, neque apparet quomodo Didymus de forma Παιανεύς cogitare potuerit.
— τοῦ ι] τοῦ ῆ B. Ald.
11. οὓς Blancardus. ὡς libri.

λεῖσθαί φησι Παιανίαν καθύπερθεν καὶ Παιανίαν ὑπένερθεν· ὁμοίως δ' ἑκατέρου τῶν δήμων τὸν δημότην καλεῖσθαί φησι Παιανιέα. διαφέρουσι δὲ οὗτοι τῶν Παιονιδῶν, ὡς Ἴστρος ἐν Ἀτάκτῳ ὑποσημαίνει. μνημονεύουσι δὲ καὶ τούτων οἱ ῥήτορες, ὥσπερ καὶ Δείναρχος ἐν τῷ κατὰ Στεφάνου περὶ τοῦ ὀχετοῦ. δῆμος δέ ἐστιν οὗτος τῆς Λεοντίδος, ὡς ὁ αὐτὸς Διόδωρος δηλοῖ.

Παλιναίρετος: Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει. μήποτε παλιναίρετον λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ συκοφαντῶν τινάς, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς ἐβοήθει, ὡς ἐν αὐτῷ τῷ λόγῳ δείκνυται· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτ' ἐκωλύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὦφλεν, ἔπειτα ἀποτίσας τὴν ζημίαν πάλιν ἔλεγεν, ὡς δηλοῦται καὶ τοῦτο ἐν τῷ λόγῳ. ὅτι γὰρ τοὺς τοιούτους ἐκάλουν παλιναιρέτους, καὶ τοὺς ἀποχειροτονηθέντας τὴν ἀρχὴν καὶ πάλιν χειροτονηθέντας, Εὔπολίς τε ἐν Βάπταις δηλοῖ καὶ Ἄρχιππος ἐν τοῖς Ἰχθύσι λέγων

7. ΠΑ'ΛΙΝ ΑΙ'ΡΕΤΟ'Σ (παλιναίρετος Phot. et Suidas). Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει· μήποτε δὲ αἱρετὸν (αἵρετον T.) λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδήπερ (ἐπειδὴ γὰρ Phot.) συκοφαντῶν τινάς, ἔπειτα λαμβάνων δῶρα τούτοις αὐτοῖς ἐβοήθει· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτο ἐκωλύετο τὸ (τοῦ D. τὸ om. Phot. et Suidas) λέγειν, πρὶν ἀποτῖσαι τὴν ζημίαν ἣν ὤφειλεν· ἔπειτα ἀποτίσας τὴν ζημίαν πάλιν ἔλεγεν. ἐκάλουν δὲ τοὺς τοιούτους πάλιν αἱρετοὺς (παλιναιρέτους Phot. et Suidas). ἀλλὰ καὶ τοὺς ἀποχειροτονηθέντας ἄρχοντας (ἀρχὴν Suidas, cujus codex optimus tota hac glossa caret) τινὰ ἀρχὴν (ἄρχειν Suidas) καὶ πάλιν χειροτονηθέντας. Πίνδαρος

1. Παιανίαν — Παιανίαν] παιανιέων—παιανιέων A. Ceteri παιανιέαν utrobique, nisi quod παιανιέα G. Ego comparata Epitomes scriptura utrobique Παιανίαν restitui. Sic Λαμπτραὶ αἱ μὲν παράλιαι, αἱ δὲ καθύπερθεν dixit Harpocratio s. h. v.

1. 2. Παιανίαν κ.—καλεῖσθαί φησι om. C.

1. Παιανίαν κ. καὶ Παιανίαν om. B.

— καθύπερθεν] καθύπερθε A.

3. δὲ] οὖν C. om. B.

— οὗτοι om. C.

— Ἀτάκτῳ] Scribendum videtur Ἀτάκτοις, ut apud alios scriptores hunc Istri librum memorantes.

5. ἐστιν Sauppius Fragm. p. 333. Legebatur ἐστι καί.

5. Λεοντίδος] λεωνίδος C.

6. ὁ additum ex A.

7. ΠΑΛΙΝΑΙ'ΡΕΤΟΣ] πάλιν αἱρετὸς A.B. Ald. unde παλιναιρετὸς oxytonum est in C. pariterque mox in accusativo, ubi πάλιν αἱρετὸν et πάλιν αἱρετοὺς A.B. Ald.

— τῇ] τῷ C.

12. τὴν ζημίαν om. N.

— ὦφλεν Sauppius Fragm. p. 326. Legebatur ὤφειλεν.

13. ἐν τῷ] ἐν τῷ αὐτῷ N.

15. Βάπταις] βαπταῖς A.

— δηλοῖ] φησὶ C.

— τοῖς om. C.

αἱρουμένους τε πραγμάτων ἐπιστάτας
ἀποδοκιμάζειν, εἶτα δοκιμάζειν πάλιν
ἣν οὖν ποιῶμεν ταῦτα, κίνδυνος λαθεῖν
ἀπαξάπαντας γενομένους παλιναιρέτους.

ἐπὶ δὲ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων Πίνδαρος Διθυράμβοις.

Παλίνσκιον: Ἰσαῖος μὲν ἐν τῷ πρὸς ὀργεῶνας "μήτε παλίνσκιον γίγνεσθαι τὸ χωρίον" ἀντὶ τοῦ σύσκιον, Ἀρχίλοχος δὲ τριμέτροις

πρὸς τοῖχον ἐκλίνθησαν ἐν παλινσκίῳ

ἀντὶ τοῦ ἐν σκοτεινῷ, καὶ Σοφοκλῆς Ἰνάχῳ

χειμῶνι σὺν παλινσκίῳ

ἀντὶ τοῦ ζοφερῷ.

Παλίμβολον: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. ὁ πολλάκις ἐπ' ἐμπολῇ μεταβεβλημένος παλίμπρατος παλίμβολος λέγεται, ὡς δῆλόν ἐστιν ἔκ τε τοῦ Δεινάρχου κατὰ Πολυεύκτου καὶ ἐκ τοῦ Μενάνδρου Σικυωνίου.

Παλληνεύς: Ὑπερείδης ἐν τῇ ὑπὲρ Χαιρεφίλου ἀπολογίᾳ. Παλλήνη δῆμος τῆς Ἀντιοχίδος. τὸ δὲ ἐκ τόπου ἐπίρρημα Δεί-

δὲ ἐν Διθυράμβοις ἐπὶ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων ἐχρήσατο τῇ λέξει:—

7. ΠΑΛΙ´ΣΚΙΟΝ (*παλίνσκιον* Phot. et Suidas). *Ἰσαῖος μὲν ἀντὶ τοῦ σύσκιον· Ἀρχίλοχος δὲ ἀντὶ τοῦ σκοτεινόν. καὶ Σοφοκλῆς "χειμῶνι παλινσκίῳ" ἀντὶ τοῦ ζοφερῷ*:— Suidæ codex A. omissa hac glossa in marg. habet *παλίνσκιον, σύκιον* (i. e. *σύσκιον*), *σκοτεινόν*. 14. ΠΑΛΙ´ΜΒΟΛΟΝ. *Αἰσχίνης ἐν τῷ* (*περὶ* add. Phot.) *παραπρεσβείας· ὁ πολλάκις ἐπεμπολλῇ* (*ἐπεμβολῇ* D. *ἐπ' ἐμπολῇ* Phot.) *μεταβεβλημένος* (*καὶ λεγόμενος* addit Phot.) *ἐν τῷ βίῳ παλίμπρατος παλίμπολος* (*παλίμβολος* Phot.) *ἐλέγετο, ὡς Δείναρχος δηλοῖ καὶ Μένανδρος*:— Hanc gl. om. Suidas, qui duas alias habet. 17. ΠΑΛΛΗΝΕΥ´Σ. *Παλλήνη δῆμος τῆς Ἀντιοχίδος· τὸ δὲ ἐκ τόπου ἐπίρρημα Παλληνῆ-*

2. *εἶτα δοκιμάζειν* addidit Porsonus Advers. p. 281.

4. *παλιναιρέτους*] Hic quoque libri *πάλιν αἱρετούς*.

5. *Πίνδαρος*] Fragm. 54.

7. *μὲν* quodque ei respondet *δὲ* additum ex Epitome.

— *μήτε*] *μήποτε* C.

8. *γίγνεσθαι*] *γενέσθαι* C.

10. *ἐκλίνθησαν* Toupius. Libri *ἐκινήθησαν*.

10. *παλινσκίῳ*] *παλισκίῳ* N.

11. *Σοφοκλῆς*] Fragm. 272.

14. *Αἰσχίνης*] p. 33, 24.

— *πρεσβείας*] *παραπρεσβείας* Ald.

15. *ἐπ' ἐμπολῇ* ex Epitome. *ἐπεμβολῇ* A.N. *ἐν πολλῇ* C. *ἐμπολῇ* Ald. *ἐμβολῇ* O.

— *μεταβεβλημένος*] *καταβεβλημένος* B.

16. *τε* om. B C.

19. *τῆς* om. B.C.

ναρχος ἐν τῷ κατὰ Στεφάνου Παλλήνηθέν φησιν, ὁ δὲ δημότης Παλληνεύς. ὅτι δ' ἐστὶ καὶ ἐν Θρᾴκῃ Παλλήνη γνώριμον.

Παλαμναῖος: Ὑπερείδης ἐν τῷ κατὰ Δημάδου. τοὺς αὐτοχειρίᾳ τινὰς ἀνελόντας τῇ παλάμῃ παλαμναίους ἐκάλουν, ὡς καὶ Αὐτοκλείδης ἐν ἐξηγητικῷ ὑποσημαίνει.

Παμβωτάδης: Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον. Παμβωτάδαι τῆς Ἐρεχθηΐδος δῆμος.

Πανδαισία: Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα. ἔστι μὲν τοὔνομα πολλάκις καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, πανδαισία δέ ἐστι τὸ πάντα ἔχειν ἄφθονα καὶ μηδὲν ἐλλείπειν ἐν τῇ δαιτί. ἡ γὰρ τοῦ Διδύμου ἀπόδοσις περίεργος.

Πάνδημος Ἀφροδίτη: Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος. Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν πάνδημόν φησιν Ἀθήνησι κληθῆναι τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον συνάγεσθαι τὸ παλαιὸν ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλουν ἀγοράς. Νίκανδρος ἐν ϛ' Κολοφωνιακῶν Σόλωνά φησι σώματα

θεν (Παλλήνηθεν Phot. In Suidæ libris vel παλληνόθεν cum Zonara p. 1525, vel παλληνήθεν vel παλληνίθεν). ὁ δὲ δημότης Παλληνεύς. ὅτι δέ ἐστιν καὶ ἐν (ἐστιν ἐν Suidæ codices præter unum) Θρᾴκῃ Παλλήνη γνώριμον :—

3. ΠΑΛΑΜΝΑΙ͂ΟΣ. τοὺς αὐτοχειρίᾳ τινὰς ἀνελόντας τῇ παλάμῃ παλαμναίους ἐκάλουν :— Glossam omisit Suidas, alia substituta. 6. ΠΑΜΒΩΤΑ'ΔΕΣ (Παμβωτάδαι D.). Παμβῶται δῆμος τῆς Ἐρεχθηΐδος (Ἐρεχθηΐδος Suidas. Totam gl. om. Phot.) :— 8. ΠΑΝΔΑΙΣΙ'Α. ἡ πάντα ἔχουσα ἄφθονα καὶ μηδὲν ἐλλείπουσα ἐν τῇ δαιτί :— 12. ΠΑ'ΝΔΗΜΟΣ ἈΦΡΟΔΙ'ΤΗ. οὕτως ἐκάλουν τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν, διὰ τὸ ἐνταῦθα πάντα τὸν δῆμον (ἐνταῦθα δῆμον πάντα D.) συνάγεσθαι τὸ παλαιόν· ἃς ἐκάλουν ἀγοράς· ἔστι δὲ τὸ πάνδημον πάγκοινον :—

1. ὁ δὲ ex Epitome pro ὁ οὖν.
3. τοὺς additum ex Epitome.
4. Αὐτοκλείδης] αὐτοκλεῖ A.
6. ΠΑΜΒΩΤΑ'ΔΗΣ] παμβωτάδεις B.C. Ald.
— Δημοσθένης] p. 1250. ubi est Ἀρκέσαντι Παμβωτάδῃ.
— Δημοσθένης — πανδαισία om. B.C.
8. μὲν] δὲ C.
9. ἐστι Ald. εἶναι εἴληφα A. εἶναι εἴληφε B.C.
11. Πατροκλέους] προκλέους B. πρωκλέους A.
13. γνήσιος] ὁ λόγος addit A.
14. ἀφιδρυθεῖσαν] ἀμφιδρυθεῖσαν B.C.
— τὴν ἀρχαίαν ἀγορὰν] De qua v. Boeckh. Corp. Inscr. vol. 1. p. 470. Forchhammer. in Topogr. Athenarum (Kilon. 1841.) p. 38—40. Raoul-Rochette in *Journal des Savants* 1851. p. 551.
15. συνάγεσθαι] ἀνάγεσθαι A.
— τὸ] τὸν A.B. Ald.
16. ϛ'] ἕκτῳ Ald. ἕκτη C. θι N. Fortasse τρίτῳ restituendum ex Athenæo 13. p. 569 d. καὶ Φιλήμων δ' ἐν Ἀδελφοῖς προσιστορῶν ὅτι πρῶτος Σόλων διὰ τὴν τῶν νέων ἀκμὴν

ἀγοράσαντα εὐπρεπῆ ἐπὶ στέγης στῆσαι διὰ τοὺς νέους, καὶ ἐκ τῶν περιγενομένων χρημάτων ἱδρύσασθαι Ἀφροδίτης πανδήμου ἱερόν. ἔστι δὲ τὸ πάνδημον πάγκοινον.

Πάνδια: ἑορτή τις Ἀθήνησι μετὰ τὰ Διονύσια ἀγομένη.

Πανδοσία: Δημοσθένης Φιλιππικοῖς. περὶ τῆς ἁλώσεως τῶν ἐν Κασσωπίᾳ πόλεων, ὧν ἐστι καὶ Πανδοσία, Θεόπομπος ἐν γ΄ ἱστόρηκεν.

Πανδιονίς: Δημοσθένης κατὰ Μειδίου. μία τῶν δέκα φυλῶν παρ' Ἀθηναίοις ἐστὶ, κληθεῖσα ἀπὸ Πανδίονος τοῦ Ἐριχθονίου, ὡς ἄλλοι τε πολλοὶ λέγουσι καὶ Ὑπερείδης ἐν τῷ ὑπὲρ Φορμισίου.

Παναθήναια: Δημοσθένης Φιλιππικοῖς. διττὰ Παναθήναια ἤγετο Ἀθήνησι, τὰ μὲν καθ' ἕκαστον ἐνιαυτὸν, τὰ δὲ διὰ πεντετηρίδος, ἅπερ καὶ μεγάλα ἐκάλουν. Ἰσοκράτης Παναθηναϊκῷ φησι "μικρὸν δὲ πρὸ τῶν μεγάλων Παναθηναίων." ἤγαγε δὲ τὴν ἑορτὴν πρῶτος Ἐριχθόνιος ὁ Ἡφαίστου, καθά φησιν Ἑλλάνικός τε καὶ Ἀνδρο-

4. ΠΑ'ΝΔΕΙΑ (Πάνδια Phot.). ἑορτή τις Ἀθήνησιν μετὰ τὰ Διονύσια ἀγομένη :— Ceterum Epitome hanc gl. proximæ postponit. 5. ΠΑΝΔΟΣΙ'Α. πόλις μία τῶν ἐν Κασωπίᾳ :— 8. ΠΑΝΔΙΩΝΙ'Σ (Πανδιονίς Phot.). μία τῶν ι' φυλῶν παρὰ Ἀθηναίοις· ἀπὸ Πανδίωνος (–ονος Phot.) τοῦ Ἐριχθονίου κληθεῖσα :— 11. ΠΑΝΑΘΗ'ΝΑΙΑ. διττὰ Παναθήναια ἤγετο Ἀθήνησιν, τὰ μὲν καθ' ἕκαστον ἐνιαυτὸν, τὰ δὲ διὰ πενταετηρίδος (πεντετηρίδος Phot.), ἃ καὶ μεγάλα ἐκάλουν· ἤγαγεν δὲ τὴν ἑορτὴν πρῶτος Ἐριχθόνιος (ὁ addunt Phot. et Suidas) Ἡφαίστου· τὰ δὲ Παναθήναια πρότερον Ἀθήναια ἐκαλοῦντο :—

ἔστησεν ἐπὶ οἰκημάτων γύναια πριάμενος, καθὰ καὶ Νίκανδρος ὁ Κολοφώνιος ἱστορεῖ ἐν τρίτῳ Κολοφωνιακῶν, φάσκων αὐτὸν καὶ πανδήμου Ἀφροδίτης ἱερὸν πρῶτον ἱδρύσασθαι, ἀφ' ὧν ἠργυρίσαντο αἱ προστᾶσαι τῶν οἰκημάτων.

P. 233, 16. Κολοφωνιακῶν] κολωνιακῶν B. κολοφωνικῶν N.

P. 234, 1. στῆσαι] στήσασθαι A.

2. περιγενομένων] περιγινομένων A. Ald.

— Ἀφροδίτης] ἀφροδίτη B.C.

— πανδήμου Maussacus pro πάνδημον.

3. τὸ additum ex Epitome.

4. ΠΑ'ΝΔΙΑ (πάνδεια Ald.) —] Hanc gl. post gl. παραγραφή habent B. Ald., om. A.C. Spectat glossa, ut videtur, ad Demosth. p. 517, 10.

5. Δ. Φ.] φ. δ. B.C. Locus Demosthenis est p. 84, 22.

6. ἐν om. B.

— Κασσωπίᾳ] κασωπίᾳ Epitome. κασσωπείᾳ C. Ald. κασωπείᾳ A. κασεπείᾳ B. Restitui Κασσωπίᾳ ex Demosthene. Duplex σ omnes probasse uno excepto Herodiano refert Steph. Byz. s. v. Κασσώπη.

8. ΠΑΝΔΙΟΝΙ'Σ] πανδιωνίς C. Ald.

— Δημοσθένης] p. 518 extr.

11. Δημοσθένης Φιλιππικοῖς] Immo de falsa leg. p. 394, 2.

12. πεντετηρίδος] πενταετηρίδος A. Ald.

13. Ἰσοκράτης] p. 236 c.

14. πρῶτος Ἐριχθόνιος ex Epitome pro ὁ Ἐριχθόνιος.

τίων, ἑκάτερος ἐν α' Ἀτθίδος. πρὸ τούτου δὲ Ἀθήναια ἐκαλεῖτο, ὡς δεδήλωκεν Ἴστρος ἐν γ' τῶν Ἀττικῶν.

Πάνακτος: Δημοσθένης κατὰ Κόνωνος. πόλις ἐστὶ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας, ὡς καὶ Εὐριπίδης ἐν Αἰγεῖ μνημονεύει. Θουκυδίδης μὲν οὖν οὐδετέρως καλεῖ τὸ χωρίον ἔν τε ἄλλοις κἀν τῇ ε', ἀρρενικῶς δὲ Μένανδρος ἐν Ψοφοδεεῖ.

Πάνδροσος: ὄνομα γυναικός.

Παραγραφή: οὐ μόνον ἐπὶ τοῦ κοινοῦ καὶ γνωρίμου τίθεται παρὰ τοῖς ῥήτορσιν, ἀλλ' ἰδίως Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεώς φησιν "λέγε ἀρξάμενος ἀπὸ τῆς παραγραφῆς," ὅπερ ἐστὶν ἀπὸ τῆς γραμμῆς ἣν μέχρι νῦν παράγραφον καλοῦμεν· καὶ ἔστι τὸ λεγόμενον, ἀφ' οὗ παρέγραψα· τοῦτο δ' ἂν εἴη, ἀφ' οὗ παρεθέμην. ὁ δ' Ὑπερείδης ἐν τῷ κατὰ Δημοσθένους "οὐδὲ μέχρι παραγραφῆς" φησὶν ἀντὶ τοῦ οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου, ὅ ἐστι περιγεγραμμένου.

Παραγγελία: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου "ὅση σπουδὴ "καὶ παραγγελία περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε." καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ Κτησιφῶντος·

3. ΠΑ'ΝΑΚΤΟΣ. πόλις μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας· Θουκυδίδης δὲ καὶ οὐδετέρως καλεῖ τὸ χωρίον, Μένανδρος δὲ ἀρρενικῶς (ἀρσενικῶς Phot. et Suidas) :— 9. Ἰσοκράτης παραγραφῆς εἶπεν ἀντὶ τοῦ ἀπὸ τῆς γραφῆς (ἀπογραφῆς Phot.)· καὶ ἔστι τὸ λεγόμενον παρ' αὐτοῦ (αὐτῷ ap. Suidam, sed codices αὐτοῦ, excepto, si quid tribuendum silentio, A.) ἀφ' οὗ παρέγραψα (ἀντέγραψαν Phot.)· τοῦτο (ταῦτα Phot.) δ' ἂν εἴη, ἀφ' οὗ παρεθέμην· ὁ δὲ Ὑπερίδης ἐν τῷ κατὰ Δημοσθένους, οὐδὲ μέχρι παραγραφῆς φησὶν, ἀντὶ τοῦ οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου (ὅπέρ ἐστι περιγεγραμμένου addunt Phot. et Suidas) :— 16. ΠΑΡΑΓΓΕΛΙ'Α. περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε· καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ

1. ἐκαλεῖτο] ἐκαλοῦντο C.
3. Δημοσθένης] p. 1257, 4.
4. Εὐριπίδης] παρ' εὐριπίδῃ A.
— Αἰγεῖ Maussacus. αἰγίδι A. Ald. αἰγὶ B.C.
5. Θουκυδίδης] 5, 3. et 42.
— ἐν om. B.
6. Ψοφοδεεῖ Maussacus. ψηφώδεσιν B. Ald. ψηφώδεσσι C. ψηφώσεσιν A.
8. τοῦ om. C.
— γνωρίμου] ἰδίου C.
9. Ἰσοκράτης] p. 322 a.
— φησιν :— C.
11. γραμμῆς] γραφῆς B. Ald.
— ἣν N. Ceteri ἧς.
14. παραγεγραμμένου] παραγεγραμμένον A.
— περιγεγραμμένου] παραγεγραμμένου B. περιγεγραμμένον A.
16. Addidi verba Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.
— ὅση σπουδὴ καὶ παραγγελία] His quoque verbis libri carent. Ex initio orationis Demosthenicæ supplevit Maussacus.
18. ἐν τῷ] αὐτῷ A.
— κατὰ Κτησιφῶντος] In initio.

"τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν παράταξιν "ὅση γεγένηται, καὶ τὰς κατ' ἀγορὰν δεήσεις αἷς κέχρηνταί τινες." Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει "καὶ τὰς ἰδίᾳ παραγ-"γελίας γεγενημένας καὶ τὰς δεήσεις."

Παράκλησις: ἀντὶ τοῦ προτροπή. Ἰσοκράτης Παραινέσεσι "διόπερ ἡμεῖς οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες." τίθεται μέντοι σπανίως καὶ ἀντὶ τῆς δεήσεως· Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας προειπὼν "εἰ μὲν ὑπὲρ ἰδίου τινὸς ἦν ὁ ἀγὼν, ἐδεόμην ἂν "ὑμῶν μετ' εὐνοίας ἀκοῦσαί μου" μετ' ὀλίγον φησὶν "νυνὶ δὲ αὐτοὺς "ὑμᾶς οἶμαι τοῦτο ποιήσειν καὶ χωρὶς παρακλήσεως τῆς ἐμῆς."

Πάραλος: Δημοσθένης Φιλιππικοῖς. μία τῶν παρ' Ἀθηναίων πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριήρων, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα Παράλου. οἱ δὲ ἐπιβεβηκότες αὐτῆς ἐκαλοῦντο Πάραλοι, οἳ διὰ ταύτην τὴν ὑπηρεσίαν τέτταράς τε ὀβολοὺς ἐλάμβανον καὶ τὸ πλεῖον μέρος τοῦ ἐνιαυτοῦ οἴκοι ἔμενον, ἄλλα τέ τινα ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως, ὥς φησιν Ὑπερείδης ἐν τῷ κατ' Ἀρχεστρατίδου. μέμνηται δὲ τοῦ Παράλου ἥρωος καὶ Φύλαρχος ἐν κα'.

Κτησιφῶντος· τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παράταξιν ὅση γεγένηται. καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνται τινές· Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει· καὶ τὰς ἰδία (ἰδίας Phot. et Suidas) παραγγελίας γεγενημένας καὶ τὰς δεήσεις :—

6. γράψαντες. Λυκοῦργος δὲ ἀντὶ τῆς δεήσεως ἐχρήσατο, λέγων· ὑμᾶς οἶμαι τοῦτο ποιήσειν, καὶ χωρὶς τῆς ἐμῆς παρακλήσεως :— 11. ΠΑ'ΡΑΛΟΣ. Δημοσθένης (ἐν addit D.) Φιλιππικοῖς· μία τῶν παρ' Ἀθηναίοις πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων (παραπεμπομένων Suidæ codex A.) τριηρῶν, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα. παράλιοι (πάραλοι Phot. et Suidas) δ' ἐκαλοῦντο οἱ ἐπιβεβηκότες αὐτῆς (αὐταῖς Phot.)· οἳ καὶ διὰ ταύτην τὴν ὑπηρεσίαν, τέσσαράς τε ὀβολοὺς ἐλάμβανον καὶ τὸ πλεῖστον τοῦ ἐνιαυτοῦ οἴκοι τε ἔμενον, καὶ ἄλλα τινὰ ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως :—

1. τὴν παράταξιν] τὴν om. A.
2. ὅση γεγένηται om. C. ὅση— τινες om. N.
— κατ' ἀγορὰν] κατὰ τὴν ἀγορὰν C.
3. ἰδίᾳ Epitome. Libri ἰδίας.
5. προτροπή] παρατροπή B.C.
— Ἰσοκράτης] p. 3 a.
8. ὑπὲρ] περὶ C.
9. ὑμῶν om. B.C.
— μετ'] καὶ μετ' C.
10. τοῦτο om. B.C.
10. π. τῆς ἐμῆς] τῆς ἐμῆς π. N. τῆς ἡμῶν π. B.C.
11. Δημοσθένης] p. 97.
12. τριήρων] τριήρεων B.C.G.
13. λαβοῦσα om. B.C.
16. ὑπῆρχεν ex Epitome pro ὑπῆρχον.
17. Ἀρχεστρατίδου] ἀρχεστράτου A. ἀρχιστράτου Ald.
— ἥρωος] καὶ ἥρωος A.
18. ἐν] ἐν τῇ B. Ald.

Παράβυστον: *οὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ἕνδεκα· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα περὶ ὅρων. μνημονεύουσι δ' αὐτοῦ ἄλλοι τε τῶν κωμικῶν καὶ Τιμοκλῆς ἐν Ὀρεσταυτοκλείδῃ. ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους. λέγεσθαι δ' ἔοικε ταῦτα κατὰ μεταφορὰν ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι παραπληρωμάτων.*

Παραπεπτωκώς: *ἀντὶ τοῦ ὑποπεπτωκώς Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου.*

Παρακαταβολή *καὶ* παρακαταβάλλειν: *οἱ ἀμφισβητοῦντες χρημάτων τινῶν δεδημευμένων πρὸς τὴν πόλιν καὶ οἱ περὶ κλήρων ἢ ἐπικλήρων πρὸς ἰδιώτας ἀντιδικοῦντες ἀργύριόν τι κατετίθεσαν· καὶ τούτου ἐχρῆν αὐτοὺς στέρεσθαι, εἰ τὴν δίκην ἡττηθεῖεν. ἐπὶ μὲν οὖν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητήσεων δῆλόν ἐστιν ὅτι τὸ ε´ μέρος τοῦ ἀμφισβητουμένου κατετίθετο. περὶ μὲν οὖν τῶν δημοσίων πολλαχοῦ εἴρηται τῷ Λυσίᾳ, ὥσπερ ἔν τε τῷ πρὸς Ἀλκιβιάδην περὶ οἰκίας καὶ ἐν τῷ πρὸς Ἀσωπόδωρον περὶ οἰκίας, περὶ δὲ τῶν κληρικῶν ἄλλοι τε πάλιν εἰρήκασι ῥήτορες καὶ Ὑπερείδης ἐν τῷ περὶ τοῦ Ἱππέως κλήρου δευτέρῳ. Δημοσθένης μέντοι ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ περὶ ἰδίας τινὸς δίκης φησὶ "καὶ μετὰ ταῦτα προσκαλεῖται μέν με τὴν δίκην πάλιν, ἐπειδὴ θᾶττον ἀνείλετο τὰς παρακαταβολάς."*

1. ΠΑΡΆΒΥΣΤΟΝ. *οὕτως—οἱ ἕνδεκα. ἐκαλεῖτο δέ—ἧς μέμνηται καὶ Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους* (libri Suidæ plerique *Προκλέους*). *λέγεσθαι—παραπληρωμάτων*:— 11. *περὶ κλήρων ἢ ἐπικλήρων*] *περὶ κλῆρον ἢ ἐπὶ κλῆρον* Phot. 13. *τούτου*] *τοῦτο* D. *στέρεσθαι*] *στρέφεσθαι* Phot. 15. *κατετίθετο· Δημοσθένης μέντοι—παρακαταβολάς*:—

4. *Ὀρεσταυτοκλείδῃ* Maussacus. Libri *ὀρεσταυτοκλεῖ*, quod om. C.
5. *Πατροκλέους* Maussacus et fortasse C. *π̄ρ̄οκλέους* Ald. et sine lineola B. *προκλέου* A.
8. *Δημοσθένης*] 1127, 2.
11. *τινῶν*] *πολλῶν* C.
— *κλήρων*] *κλῆρον* C.
12. *ἰδιώτας*] *τοὺς ἰδιώτας* C.
14. *ὅτι* om. B.C.
15. *περὶ—δημοσίων*] *περὶ ὧν* N.
— *πολλαχοῦ*] *ἀλλαχοῦ* B.C.
17. *οἰκίας*] *τῆς οἰκίας* C.
— *Ἀσωπόδωρον* Maussacus. *ἀσωπίδωρον* A. Ald. *ἀσυμπόδωρον* B.C.
18. Addidi *τοῦ*. In A. et Ald. est *τῆς*.
—*Ἱππέως*] *ἱππέων* B.C. *ἱππέας* Ald.
19. *Δημοσθένης*] p. 978, 19.
20. *καὶ*] *καὶ ὡς* B.C.N.
— *προσκαλεῖται*] *καλεῖται* B.C.
21. *με* om. B.C. Ald.
— *παρακαταβολὰς* Blancardus. *πολλὰς καταβολὰς* A.B.C. Ald. *κατα-*

Παραβάλοιτο: ἀντὶ τοῦ παραπέμψαιτο Αἰσχίνης κατὰ Κτησιφῶντος.

Πάρεδρος: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. πολύ ἐστι τοὔνομα παρά τε τοῖς ῥήτορσι καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησὶ "λαμβάνουσι δὲ καὶ παρέδρους ὅ "τε ἄρχων καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος οὓς ἂν βούληται· καὶ οὗ"τοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας "διδόασιν ἐπὰν παρεδρεύσωσιν."

Σκίρον: *Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας.* Σκίρα *ἑορτὴ παρ'* Ἀθηναίοις, *ἀφ' ἧς καὶ ὁ μὴν* Σκιροφοριών. *φασὶ δὲ οἱ γράψαντες περί τε μηνῶν καὶ ἑορτῶν τῶν* Ἀθήνησιν, *ὧν ἐστι καὶ* Λυσιμαχίδης, *ὡς τὸ σκίρον σκιάδιόν ἐστι μέγα, ὑφ' ᾧ φερομένῳ ἐξ ἀκροπόλεως εἴς τινα τόπον καλούμενον* Σκίρον *πορεύονται ἥ τε τῆς* Ἀθηνᾶς *ἱέρεια καὶ ὁ τοῦ* Ποσειδῶνος *ἱερεὺς καὶ ὁ τοῦ* Ἡλίου· *κομίζουσι δὲ τοῦτο* Ἐτεοβουτάδαι. *σύμβολον δὲ τοῦτο γίνεται τοῦ δεῖν οἰκοδομεῖν καὶ σκέπας*

2. *σκιάδιον*] *σκιάδειον* Photii codex a m. sec. et libri quidam Suidæ. 3. Δ. κ. Ἀ. om. Τροίᾳ] τῇ Τροίᾳ 4. *ἧς μνημονεύει Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους* (Ἀριστοκλέους Phot.) :— 5. ΣΚΙΆΘΟΣ. *νῆσός—Εὐβοίας, ἧς μέμνηται Δ. ἐν Φιλιππικοῖς* :— 8. *οἳ*] *οἷον* Phot. 9. *οἵους οἱ χῆνες*] *οἱ χῆνες* Phot. *ὡς χῆνες* Suidas. 12. ΣΚΙ΄ΡΟΝ—*Σκίρα*] *Σκιρόν—Σκιρὰ*, eoque accentu etiam infra (sic etiam Phot., non Suidas). Λ.—*ἱερείας* om. 14. *ὧν ἐστὶ καὶ* Λ. om. 15. *σκιάδιόν ἐστιν μεθ' οὗ φερομένων* (*φερόμεναι* Phot., *φερόμενοι* Suidas) 18. *σκέπας*] *σκέπας δὲ*

2. *σκιάδιον*] *σκιάδειον* A. Ald.

3. *Δημοσθένης* (*διογένης* B.C.G.)] p. 671, 8.

4. *ἐν*] *ἐν τῇ* A.B. Ald.

5. *Δημοσθένης*] p. 49, 4.

8. *οἳ—οἵους* ex Epitome pro *ὄνομα—ὥσπερ*.

10. *ἄραντες τὰ σκέλη* om. C.

12. ΣΚΙ΄ΡΟΝ] *σκιρὸν* G. et, ut opinor, B.C.

13. *ὁ μὴν* om. C.

14. *μηνῶν καὶ ἑορτῶν τῶν* Ἀ. ex Epitome restitui pro *ἑορτῶν καὶ μηνῶν* Ἀ.

15. *σκίρον*] *σκιρὸν* libri. Correxit accentum Maussacus.

15. *σκιάδιον*] *σκιάδειον* Ald.

— *μέγα, ὑφ' ᾧ* Bekkerus: *μετὰ ὕφω* A. *μετὰ ὑπὸ* B.G., om. C. *μεθ' οὗ* Ald. cum Epitome.

— *φερομένῳ* A. *φερόμενοι* Ald. *φερομένων* B. ut Epitome. *φερόμενον* C.G.

16. *πορεύονται*] *δὲ* addit C.

17. *ὁ* om. B.C.G.

— *ἱερεὺς* post Ἡλίου C.

18. *σύμβολον* Ald. *σύμβουλον* A. et Epitome. *σίμβλον* B. *σημεῖον* C. et corr. G.

— *γίνεται*] *γινόμενον* A.

— *σκέπας*] *σκέψας* C.G.

ποιεῖν, ὡς τούτου τοῦ χρόνου ἀρίστου ὄντος πρὸς οἰκοδομίαν. καὶ Ἀθηνᾶν δὲ Σκιράδα τιμῶσιν Ἀθηναῖοι, ἣν Φιλόχορος μὲν ἐν β′ Ἀτθίδος ἀπὸ Σκίρου τινὸς Ἐλευσινίου μάντεως κεκλῆσθαι, Πραξίων δὲ ἐν β′ Μεγαρικῶν ἀπὸ Σκίρωνος.

Σκιράφια: Δείναρχος ἐν τῷ κατὰ Προξένου. σκιράφια ἔλεγον τὰ κυβευτήρια, ἐπειδὴ διέτριβον ἐν Σκίρῳ οἱ κυβεύοντες, ὡς Θεόπομπος ἐν τῇ ν′ ὑποσημαίνει.

Σκυθικαί: Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου καὶ Πυθαγόρου, εἰ γνήσιος. εἶδός τι ὑποδήματός εἰσιν αἱ Σκυθικαί. καὶ Ἀλκαῖος ἐν η′

καὶ Σκυθικὰς ὑποδησάμενος.

Σμικυθίων: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. ὄνομα κύριον.

Σόλοι: Ἰσοκράτης Εὐαγόρᾳ. Σόλοι ἡ μὲν Κυπρικὴ πόλις, ἡ δὲ τῆς Κιλικίας, ὡς ἄλλοι τε ἱστοροῦσι καὶ Ἔφορος ἐν τῇ ε′.

Σπάρτωλος: Ἀντιφῶν ἐν τῷ ἐπιγραφομένῳ 'ἐπιτροπικὸς Τιμοκράτει.' πόλις ἐστὶ τῆς Βοττικῆς ἡ Σπάρτωλος.

5.—7. ΣΚΙΡΑ′ΦΙΑ. τὰ κυβευτήρια φησὶν (verba τὰ κ. φ. exciderunt ap. Suidam, ubi hæc gl. cum alia coaluit, σκιράφιον, κυβευτήριον, quæ recte separata est ap. Photium), ἐπειδὴ διέτριβον σκίρῳ (σκιρῷ ap. Photium) οἱ κυβεύοντες, ὡς Θεόπομπος:— 8. Λυσίας—γνήσιος om. 9. εἰσιν, ὡς Ἀλκαῖος ἐν ῆ (κ̄ D.) Σκυθικὰς ὑποδησάμενος:— 11. Δ.—Ἀριστοκράτους om. 12. ΣΟ′ΛΟΙ—Εὐαγόρᾳ om. Totam gl. om. Suidas, qui aliam. ἡ μὲν—ἡ δὲ] οἱ μὲν—οἱ δὲ Phot. Κυπρικὴ] Κυπρίων 13. Κιλικίας:— 14. 15. ΣΠΑ′ΡΤΩΛΟΣ] Σπαρτωλός 14. Ἀντιφῶν—Τιμοκράτει om.

1. πρὸς] ἐς C.

2. Σκιράδα] σκιρράδα B. Ald.

— ἐν om. B.C.G.

3. Σκίρου] σκίρρου B.

— Ἐλευσινίου] ἐλευσίου B.G.

— Πραξίων] παραξίων G.

— δὲ habent Ald. et Epitome, om. ceteri.

4. β′] δευτέρῳ Ald.

— Σκίρωνος] τοῦ συνοικίσαντος Σαλαμῖνα additum in editione Aldina schol. Aristoph. Eccles. 18. ubi hic locus Harpocrationis ab Musuro scholiis illatus est.

5. Δείναρχος—Προξένου post κυβεύοντες habent B.G., om. C.

— σκιράφια ἔλεγον om. B.C.G.

6. ἐν Σκίρῳ Valesius. σκίρωνι libri. σκίρῳ Epitome.

— ὡς] καὶ B.C.G.

8. βακχίου C. Scribebatur Βακχείου.

— Πυθαγόρου Ald. πυθαγόρας A. B.C.G.

— εἰ γνήσιος om. C.G., ὁ λόγος addit A.

9. εἰσιν] ἐστιν C.

— ἐν η′] ἐν πεντηκοστῇ ὀγδόῃ Ald.

10. καὶ om. B.C.G.

11. Δημοσθένης] p. 676. extr.

12. Ἰσοκράτης] p. 194 a.

— Σόλοι om. C.

— ἡ] οἱ C.

14. 15. ΣΠΑ′ΡΤΩΛΟΣ] Libri Σπαρτωλός, ut non raro in codicibus, contra regulam Arcadii p. 57, 16.

14. Τιμοκράτει] τιμοκράτης A. Ald. τιμοκράτω B.

15. Βοττικῆς Ald. cum Epitome. βοτικῆς B.C.G. βοιωτικῆς A.

Σπερμολόγος: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. λέγεταί τι μικρὸν ὀρνιθάριον κολοιῶδες σπερμολόγος, ὠνομασμένον, ὡς ἔοικεν, ἀπὸ τοῦ τὰ σπέρματα ἀναλέγειν, οὗ μνημονεύει Ἀριστοφάνης ἐν Ὄρνισι. λέγεται οὖν ἀπὸ τούτου ὁ εὐτελὴς καὶ εὐκαταφρόνητος ἄνθρωπος καὶ ἴσως ἀπὸ τῶν ἀλλοτρίων διαζῶν σπερμολόγος.

Στασιώτης: Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως "περὶ τοίνυν "ὧν Ἀπόληξις κατηγόρηκεν, ὡς στασιώτης ἦν ἐγὼ καὶ ὁ πάππος ὁ "ἐμός." ἔοικε νῦν ὁ ῥήτωρ ἰδίως ἐπὶ τοῦ δορυφόρου κεχρῆσθαι τῷ ὀνόματι· ἐν γοῦν τοῖς ἑξῆς φησιν ὅτι οὐκ ἂν τοὺς μὲν τυραννοῦντας ἠδυνήθησαν οἱ πρόγονοι κολάσαι, τοὺς δὲ δορυφόρους ἠδυνάτησαν.

Σταφυλοβολεῖον: Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους. ἔστι δὲ τὸ καλούμενον πατητήριον, ὡς Ἀνδροτίων ἢ Φίλιππος ἐν τῷ Γεωργικῷ.

Στεφανηφόρος: Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Στεφανηφόρου ἡρῷον; ὡς ἔοικεν, ἦν ἐν ταῖς Ἀθήναις. εἴη δ' ἂν ὁ Στεφανηφόρος ἤτοι τῶν Ἡρακλέους υἱέων εἷς τῶν γενομένων ἐκ τῶν Θεστίου θυγατέρων, οὗ μνημονεύει Ἑλλάνικος ἐν ι' Φορωνίδος· ἢ μήποτε τοῦ Ἀττικοῦ Στεφανηφόρου τὸ ἡρῷον ἦν, οὗ πάλιν ὁ αὐτὸς Ἑλλάνικος ἐν β' Ἀτθίδος μέμνηται.

Στεφανῶν τοὺς νενικηκότας: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου ἀντὶ τοῦ τιμῶν. καὶ Λυκοῦργος ἐν τῷ περὶ διοικήσεώς φησιν "ἀλλὰ

1. Δ. ὑ. Κτ. om. τι om. 2. σπερμολόγος ὠνομασμένον. ἔοικεν δὲ—ἀναλέγειν. λέγεται οὖν 6.—10. Hanc gl. om. libri optimi duo Suidæ. 8. ἔοικεν οὖν (οὖν om. Suidas) ἰδίως νῦν ὁ ῥήτωρ 10. κολάσαι] καλέσαι 11. Ἰσαῖος—Διοκλέους om. ἔστι δὲ om. Suidas, totam gl. om. Phot. 12. πατητήριον :— 16. οὗ—Φορωνίδος om. Ἀττικοῦ] ἀστικοῦ 17. ἦν, ὡς φησὶν Ἑλλάνικος ἐν β̄ Ἀτθίδος :— 19. Δ.—Αἰσχίνου om. 20. τιμῶν, ὡς Δημοσθένης. καὶ γὰρ Λυκοῦργος φησὶν,—ἑκατὸν μνᾶς ἐστεφανώσατε :—

1. Δημοσθένης] p. 269, 19.
2. ὡς ἔοικεν] ἔοικε δὲ B.C.G.
3. τὰ om. C.G.
— σπέρματα] σπέρματος C.
— Ὄρνισι] v. 232.
5. καὶ διαζῶν πῶς ἀπὸ τῶν ἀλλοτρίων N.
— σπερμολόγος] ὁ σπερμ. Ald.
7. Ἀπόληξις Ald. et Epitome. ἀπόλεξις A.B.C.G. Nomen recte in omnibus scriptum s. v. Ἀπόληξις.
— ὡς] ὁ Ald.
9. ἑξῆς] ἐφεξῆς C.G.
10. κολάσαι Dobræus Advers. vol. 1. p. 588. Libri καλέσαι.
13. Στεφανηφόρου ἡρῷον] De hoc dixit Boeckh. Œc. vol. 2. p. 362.
15. Θεστίου restitutum ex Epitome. θυεστίου A.C.G. Ald. θυέστου B.
— θυγατέρων] θυγατρῶν C.
16. Ἀττικοῦ] Notatu dignum quod in Epitome est ἀστικοῦ.
19. Δημοσθένης] p. 401.
20. διοικήσεως B.C.G. τῆς διοικήσεως A. Ald.

"μὴν καὶ Καλλισθένην ρ' μναῖς ἐστεφανώσατε." καὶ παρ' ἄλλοις ἐπὶ ταύτης τῆς ἐννοίας τὸ στεφανοῦν, ὡς παρά τε Θεοπόμπῳ ἐν νζ' καὶ Μενάνδρῳ ἐν Αὑτὸν πενθοῦντι.

Στειριεύς: Ὑπερείδης κατ' Ἀρχεστρατίδου. δῆμος φυλῆς τῆς Πανδιονίδος ἡ Στειριά.

Στρατεία ἐν τοῖς ἐπωνύμοις: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. τίς ἦν ἡ ἐν τοῖς ἐπωνύμοις στρατεία δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ λέγων "εἰσὶ γὰρ ἐπώνυμοι ι' μὲν οἱ τῶν φυ-" "λῶν, β' δὲ καὶ μ' οἱ τῶν ἡλικιῶν. οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι πρό-" "τερον μὲν εἰς λελευκωμένα γραμματεῖα ἐνεγράφοντο, καὶ ἐπεγρά-" "φοντο αὐτοῖς ὅ τε ἄρχων ἐφ' οὗ ἐνεγράφησαν καὶ ὁ ἐπώνυμος ὁ τῷ" "προτέρῳ ἔτει δεδιῃτηκώς· νῦν δὲ εἰς τὴν βουλὴν ἀναγράφονται."

4. ΣΤΙΡΕΥ'Σ (Στιριεύς Suidas). δῆμος—Στιρία:— 6. ΣΤΡΑΤΕΙ'Α] στρατιὰ Phot. hic et infra. ἐν τῷ παρὰ τῆς πρεσβείας (τῷ περὶ τῆς παραπρεσβείας Phot. et Suidas). Ἀριστοτέλης τοίνυν δεδήλωκεν ἐν Ἀ. π. τίς ἦν ἡ ἐν τοῖς ἐπωνύμοις στρατεία. εἰσὶν γάρ, φησίν, ἐπώνυμοι—δύο δὲ καὶ τεσσαράκοντα οἱ τῶν ἡλικιῶν (ἡλικιωτῶν D.) 10. λελευκασμένα 11. οὗ] ὧν (ὃν Phot. et sic vel οὗ etiam Suidæ codices) ἐνεγράφησαν] ἐπεγράφησαν 12. προτέρῳ ἔτει δεδιῃτηκὼς] προτέρῳ ἐπιδεδημικὼς (προτέρῳ ἐπιδεδημηκὼς Phot. et Suidas). In D. est προτέρῳ ἔτει δεδεικτικῶς.

1. Καλλισθένην ex Epitome pro Καλλισθένης. De hoc Callisthene post alios dixit Boehneck. in Quæst. de orat. Atticis vol. 1. p. 619.

— ρ' (ἑκατὸν Ald.) μναῖς ἐστεφανώσατε om. codices, habet Ald. et Epitome.

2. νζ' A. πεντηκοστῇ ἑβδόμῃ Ald. ζω G. βω C.

3. Αὑτὸν Maussacus. αὐτῷ A.B. Ald. τῷ C.G.

4. ΣΤΕΙΡΙΕΥ'Σ Maussacus. στιρεὺς A.B.G.N. Ald. στειρεὺς C.

— κατ'] ἐν τῷ κατ' C.

— φυλῆς om. N.

5. ἡ additum ex Epitome.

— Στειριά] στειρία C. Ceteri στιρία. De accentu vid. Arcad. p. 100, 7.

6. Αἰσχίνης] p. 50, 34.

— πρεσβείας] παραπρεσβείας Ald.

7. ἡ additum ex Epitome.

8. ἐν] ἐν τῇ A.C.

— ἐπώνυμοι] Conf. quæ de his dixit Harpocratio s. v. ἐπώνυμοι.

9. πρότερον] πρῶτον B.

10. ἐνεγράφοντο] ἐγράφοντο C. et pr. B.

11. ἐνεγράφησαν] Libri ἐπεγράφησαν. Correctum in exemplari Goesiano.

— καὶ ὁ ἐπώνυμος Ald. ὁ omisit Bekkerus, fortasse codicum auctoritate.

12. ἔτει δεδιῃτηκὼς Ald. ἔτει δὲ δεικτικῶς A.C. ἔτει δεδεικτικῶς B. ἔτει δεδεικτικώς G. ἐπιδεδημικὼς vel ἐπιδεδημηκὼς Epitome. ἔτει λελειτουργηκὼς scripsit Muellerus in Fragm. Hist. vol. 2. p. 124. ex conjectura Kayseri. Aliter Bernhardyus in annot. ad Suidam vol. 2. p. 913. "Mireris istam verbo- "rum obscuritatem in re minime "perplexa, quam diserte tradit vel "schol. Aristoph. Pac. 1183. "Nempe requiritur ἐπώνυμος ὁ τῆς "φυλῆς. Videndum igitur ne vo- "ces istæ sedem non suam invo- "laverint."

καὶ μετ' ὀλίγα "χρῶνται δὲ τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας, "καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι, προγράφουσιν ἀπὸ τίνος ἄρχοντος "ἐπωνύμου μέχρι τίνος δεῖ στρατεύεσθαι." διείλεκται περὶ τούτων καὶ Φιλόχορος ἐν δ' τῆς Ἀτθίδος.

Στρατηγοί: Δημοσθένης Φιλιππικοῖς. οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ ι' ἦσαν, ὡς μαθεῖν ἔστιν ἔκ τε τῶν Ὑπερείδου κατ' Αὐτοκλέους καὶ ἐκ τῆς Ἀθηναίων πολιτείας Ἀριστοτέλους.

Στράβαξ: ὄνομα κύριον.

Στρέψα: Αἰσχίνης ἐν τῷ περὶ τῆς πρεσβείας. πόλις ἐστὶ τῆς Θρᾴκης, ὡς Ἑλλάνικος ἐν β' Περσικῶν ὑποσημαίνει. οἱ δὲ πολῖται τῆς Στρέψης καλοῦνται Στρεψαῖοι.

Στρεπτούς: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. πλακοῦντος εἶδός ἐστιν οἱ στρεπτοί, ὡς καὶ παρ' ἑτέροις.

Στρομβιχίδης: Λυσίας ἐν τῷ ὑπὲρ Δεξιοῦ ἀποστασίου. ὄνομα κύριον.

Στρούθης: Λυσίας ἐν τῷ κατὰ Θρασυβούλου. σατράπης τις βασιλέως ἦν.

Στροφάδες νῆσοι: Δείναρχος Τυρρηνικῷ. νῆσοί τινές εἰσι μεταξὺ Ζακύνθου καὶ Ἤλιδος κείμεναι.

2. ἐκπέμπωσιν ὡς γράφουσιν 3. στρατεύεσθαι :— 5. Δ. Φ. post δέκα ἦσαν 6. ὡς—Ἀριστοτέλους om. 9. Αἰσχίνης—πρεσβείας om. πόλις τῆς Θρᾳκῆς καὶ οἱ πολῖται Στρεψαῖοι :— 12. ΣΤΡΕΠΤΟΥ'Σ. πλακούντων εἶδος (εἴδη Suidæ codex A.) ὡς Δ. ὑπὲρ Κτ. :— 14. Λ.—ἀποστασίου om. 16. Λ.—Θρασυβούλου om. 17. βασιλέως] βασιλικὸς 18. ΣΤΡΟΜΦΙ'ΔΕΣ ΝΗ'ΣΟΙ. μεταξὺ (μετὰ duo optimi libri Suidæ) Ζ. καὶ Ἠλιάδος κείμεναι :—

2. ἡλικίαν ἐκπέμπωσι, προγράφουσιν] ἐκπέμπωσιν, ἡλικίαν προγράφουσιν Sauppius ad Demosth. p. 45, 18. vol. 5. p. 103. ed. Oxon.

— προγράφουσιν Valesius. Libri προσγράφουσιν.

3. διείλεκται] δὲ addit C.

4. ἐν] ἐν τῇ A.C.

5. Δημοσθένης] p. 47.

6. ι' (δέκα Ald.) ἦσαν] δίκη ἦν B.C.G.

— ἔκ τε τῶν Ὑπερείδου κατ' Αὐτοκλέους] ἐκ τοῦ ὑπερίδου καὶ ταυτοκλέους B.C.G.

7. καὶ — Ἀριστοτέλους] καὶ ἀριστοτέλους τῆς ἀθηναίων πολιτείας C.

8. ΣΤΡΑ'ΒΑΞ] Apud Demosthenem p. 482, 25.

— κύριον om. B., totam gl. om. C.G.

9. Αἰσχίνης] p. 31, 38.

— πρεσβείας] παραπρεσβείας Ald.

— ἐστὶ τῆς Θρᾴκης] ἐστὶν ἐν θρᾴκῃ C. Idem mox οἱ π. δὲ στρεψαῖοι :—

12. Δημοσθένης] p. 341, 1.

— ἐν τῷ om. A. Ald.

13. ἐστιν οἱ στρεπτοὶ om. C.

— ὡς om. B.G.

14. ΣΤΡΟΜΒΙΧΙ'ΔΗΣ] στρομβοχίδης C.G.

— ὑπὲρ om. A.

18. ΣΤΡΟΦΑ'ΔΕΣ Valesius. Libri

Στρύμη: Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος. Ἡρακλείδης ἢ Φιλοστέφανος ἐν τῷ περὶ νήσων φησὶν "ἀποικίαι δέ εἰσι "Θασίων ἐπὶ τῆς Θράκης Γαληψὸς καὶ Στρύμη ἡ νῆσος." ἔστι δὲ ἐμπόριον Θασίων. μνημονεύει τῶν Θασίων πρὸς Μαρωνείτας περὶ τῆς Στρύμης ἀμφισβητήσεως Φιλόχορος ἐν έ, Ἀρχίλοχον ἐπαγόμενος μάρτυρα.

Στύραξ: Λυσίας ἐν τῷ κατὰ Λυσιθέου. στύραξ καλεῖται τὸ κάτω τοῦ δόρατος τραχήλιον, ὃ καταπηγνύειν εἰς τὴν γῆν εἰώθασιν, ὡς Θουκυδίδης πού φησι "στυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησά-"μενος εἰς τὸν μοχλόν."

Στρωτήρ: Λυκοῦργος κατ' Ἰσχυρίου. τὰ μικρὰ δοκίδια τὰ ἐπάνω τῶν δουροδόκων τιθέμενα στρωτῆρας ἔλεγον, ὥς φησι Δίδυμος. ἔστι τοὔνομα καὶ ἐν Βαβυλωνίοις Ἀριστοφάνους.

Σῦλαι: Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου τῆς τριηραρχίας. κἀν τῷ πρὸς τὴν Λακρίτου παραγραφήν "ἐξελόμενος ὁπόταν μὴ "σῦλαι ὦσιν Ἀθηναίοις." ἐν δὲ τοῖς ἑξῆς ὥσπερ ἐξηγούμενος αὐτό

1. ΣΤΡΥ'ΜΗ. νῆσος ἄποικος Θασίων. ἔστιν δὲ ἐμπόριον Θασίων:— 7. Λ.—καλεῖται om. 9. ὡς] καὶ (καὶ ὁ D.) που om. ἀκοντίου] ἀκοντίῳ (sic etiam Zonaras p. 1671; sed Suidæ codices plerique ἀκοντίου) 11. Λ.—Ἰσχυρίου om. 12. δουροδόκων] δοκοδώχων (δωροδόκων, in δωροδοκῶν mutatum, Phot. Libri Suidæ δωροδόκων vel δωροδοκῶν vel δοροδοκῶν) ἔλεγον:— 14. ΣΥ'ΛΑΣ] σύλλας (σύλας Phot. σύλας, τὰς συλλήψεις Suidas interpretatione aliunde illata) τῆς τριηραρχίας—ἐξελόμενος om.

στρομβίδες. Epitome Στρομφίδες.

P. 280, 18. Τυρρηνικῷ Valesius. Libri τυραννικῷ.

19. Ζακύνθου ex Epitome pro Κύνθου.

P. 281, 1. Δημοσθένης] p. 1213, 19.

3. ἐπὶ τῆς Bekkerus. ἐκ τῆς Ald. Præpositionem omittunt codices.

— Γαληψὸς] Libri σάληψος. Correxit Maussacus, nisi quod falso accentu Γάληψος scripsit.

— ἡ νῆσος om. C.

— δὲ] δὲ καὶ C.G.

4. ἐ. Θασίων] ἐ. τῶν θασίων C.

— μνημονεύει] δὲ addit C.

— Μαρωνείτας] μαρωνίτας B.C.G. μαρωνηίτας Ald.

5. Στρύμης] στρώμνης B.C.

9. Θουκυδίδης] 2, 4.

9. ἀκοντίου Blancardus ex Thucydide. ἀκοντίῳ libri, nisi quod pro στυρακίῳ ἀκοντίου in C. δούρατος στυρακίω scriptum est. Et sic G. quoque, ni fallor.

11. ΣΤΡΩΤΗ'Ρ] στωτὴρ C.G.

— κατὰ Ἰσχυρίου Fabricius. Libri κατ' αἰσχυρίου. Hanc orationem "πρὸς Ἰσχυρίαν" vocat Suidas s. v. Λυκοῦργος.

12. δουροδόκων] δοροδόκων A.

13. Ἀριστοφάνους] Fragm. 54.

14. Δημοσθένης] p. 1232, 4.

15. πρὸς τὴν Λακρίτου παραγραφὴν] p. 927, 4.

16. σῦλαι ὦσιν] συλαιῶσιν Ald. σιλέωσιν C. συλεῶσιν B.G.

— ἑξῆς] p. 931, 23.

φησιν "σεσυλήμεθα δὲ τὰ ἡμέτερα αὐτῶν ὑπὸ Φασηλιτῶν ὥσπερ δεδομένων συλῶν Φασηλίταις κατ' Ἀθηναίων. ἐπειδὰν γὰρ μὴ θέλωσιν ἀποδοῦναι ἃ ἔλαβον, τί ἄν τις ἔχοι ἄλλο ὄνομα θέσθαι τῷ τοιούτῳ ἢ ὅτι ἀναιροῦνται τὰ ἀλλότρια;" ἀντὶ τοῦ τὰς συλήσεις σύλας ἔλεγον.

Συλλογῆς: ὄνομα ἀρχῆς. Ἰσαῖος ἐν τῷ μετοικικῷ σαφέστατα δηλοῖ.

Σύμβολα: τὰς συνθήκας, ἃς ἂν ἀλλήλαις αἱ πόλεις θέμεναι τάττωσι τοῖς πολίταις ὥστε διδόναι καὶ λαμβάνειν τὰ δίκαια. πολλάκις ἐν τῷ ζ' Φιλιππικῶν Δημοσθένης, καὶ Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου.

Συμμορία: Δημοσθένης κατ' Ἀφόβου α'. οὐχ ἅπαν τὸ πλῆθος, ὥσπερ παρ' ἡμῖν, διῄρητο εἰς τὰς συμμορίας Ἀθήνησιν, ἀλλὰ μόνοι οἱ πλούσιοι καὶ εἰσφέρειν τῇ πόλει δυνάμενοι. ὁ γοῦν Δημοσθένης ἐν τῷ περὶ τῶν συμμοριῶν φησι, περὶ τῶν χιλίων καὶ διακοσίων ἀνδρῶν

1. ὥσπερ om. Phot. et Suidas. 4. συλήσεις] συλλήψεις Suidas. 6. ἀρχῆς:— 10. ιζ' Φιλιππικῷν (ζ' Φιλιππικῶν Phot. et Suidas) Δημοσθένης:— 12. α' om. 15. καὶ om. (habent Phot. et Suidas)

3. ἃ om. A.B.G.

— ἔχοι—τοιούτῳ] θέσθαι ἄλλο ὄνομα τῷ τοιούτῳ ἔχοι C.

4. τὰ ἀλλότρια om. A.B.C.G., habet Ald. et Epitome.

— τοῦ om. A.

6. ΣΥΛΛΟΓΗ͂Σ] συλλογεῖς N. συλλογή Ald., quod nullo dum in codice inventum est. "De hoc "magistratu Lex. rhet. Bekk. p. "304, 4. συλλογεῖς, ἄρχοντες ὑπὸ τοῦ "δήμου χειροτονητοί, οἵτινες ἀπεγρά-"φοντο τὰς οὐσίας τῶν ὀλιγαρχικῶν. "Hermann. Antiq. publ. Gr. § "151, 5. Meier. de bonis damn. "p. 206. Qui in Boeckhii Corp. "Inscr. 99. et 157. commemo-"rantur συλλογεῖς τοῦ δήμου pror-"sus diversi videntur fuisse." SAUPP. Fragm. p. 239. Eosdem esse non improbabile videtur Boeckhio Œc. vol. 2. p. 127.

— μετοικικῷ (i. e. oratione de rationibus inquilinorum) Sauppius. μετοικισμῷ A. μετοικισμοῦ Ald. μετοίκῳ B.C.G.

8. ἂν om. N.

— ἀλλήλαις post πόλεις B.C.G.

9. τάττωσι om. codices, habent Ald. et Epitome.

— τοῖς πολίταις om. C.N.

10. Φιλιππικῶν] φιλιππικῷ A. Est p. 78, 25.

— Δημοσθένης, καὶ Ἰσαῖος] δημοσθένους καὶ ἰσαίου A.B C.G.

12. ΣΥΜΜΟΡΙ'Α] Quæ de symmoriis tradit Harpocratio, in his nonnulla sunt non recte ab eo intellecta, quæ notarunt Boeckh. Œc. vol. 1. p. 684. 694. vol. 3. p. 179. et, qui partim a Boeckhio dissentit Bakius Schol. Hypomn. vol. 4. p. 153. seqq.

— Δημοσθένης] p. 815, 10.

— κατ' codices et Epitome. ἐν τῷ κατ' Ald.

14. τῇ πόλει om. A.

15. περὶ τῶν χ.] παρὰ τῶν χ. A.B. C.G.

λέγων τῶν πλουσιωτάτων, "ἐκ τούτων τοίνυν οἶμαι δεῖν ποιῆσαι συμ- "μορίας κ', ὥσπερ νῦν εἰσὶ, σώματα ξ' ἑκάστην ἔχουσαν." Ὑπερείδης δ' ἐν τῷ πρὸς Πολύευκτόν φησιν "εἰσὶ γὰρ ἐν τῇ συμμορίᾳ "ἑκάστῃ ιε' ἄνδρες." οὐ δεῖ δὲ θαυμάζειν πῶς ὁ μὲν Δημοσθένης φησὶν ξ' ἄνδρας ἔχειν τὴν συμμορίαν, ὁ δὲ Ὑπερείδης ιε'· ἐν γὰρ τῷ κατὰ Πασικλέους λέγει τὴν αἰτίαν, γράφων ταυτί "ἕως μὲν οἱ πλου- "σιώτατοι παρακρουόμενοι τὴν πόλιν σύμπεντε καὶ σύνεξ τριηραρ- "χοῦντες μέτρια ἀνήλισκον, ἡσυχίαν ἦγον οὗτοι· ἐπειδὴ δὲ ταῦτα "κατιδὼν Δημοσθένης νόμους ἔθηκε τοὺς τ' τριηραρχεῖν καὶ βαρεῖαι "γεγόνασιν αἱ τριηραρχίαι, νῦν ὁ Φορμίων αὐτὸν ἐκκλέπτει." ὅτι δὲ καὶ οἱ δημοποίητοι ἐνεγράφοντο εἰς τὰς συμμορίας δεδήλωκεν ὁ Ὑπερείδης ἐν τῷ κατὰ Πολυεύκτου πολλάκις. συμμορῖται δέ εἰσιν οἱ τῆς αὐτῆς αὐτοῖς μετέχοντες συμμορίας, ὡς ἐν τῷ αὐτῷ λόγῳ Ὑπερείδης δείκνυσι. διῃρέθησαν δὲ πρῶτον Ἀθηναῖοι κατὰ συμμορίας ἐπὶ Ναυσινίκου ἄρχοντος, ὥς φησι Φιλόχορος ἐν τῇ ε' Ἀτθίδος.

ΣΥΓΓΡΑΦΕΙΣ: Ἰσοκράτης Ἀρεοπαγιτικῷ. εἰθισμένον ἦν παρ' Ἀθηναίοις, ὁπότε δέοι, πλῆθός τι αἱρεῖσθαι, εἰς ῥητὴν ἡμέραν εἰσφέ-

1. τούτων τοίνυν] τοίνυν τούτων Phot. et Suidas. 2. σώματα ξ'] ξ' σώματα Ὑπερείδης hic et infra Photius. Ceteri Ὑπερίδης. 6. ταυτὶ] ταύτην Phot. 7. σύμπεντε καὶ σύνεξ] συν ε̄ καὶ ϛ' (σὺν πέντε καὶ ἓξ Suidas) 9. κατιδὼν] κατίδεν (sine accentu Phot.; κατεῖδε Suidas) 10. νῦν —ἐκκλέπτει om. 12. πολλάκις om. 14. Ναυσικοῦ (Ναυσινίκου Phot. et Suidas) ἄρχοντος, ὡς Φιλόχορος :— 16. Ἰ. Ἀ. om. ἠθισμένον (εἰθισμένον Phot. et Suidas) 17. εἰσφέρον] εἰς ἔφερεν E.T. εἰσέφερον

1. τοίνυν om. C.
2. κ' om. B.C.G.
3. ἐν τῇ] ἐν ἀρχῇ A.
6. ταυτί] De sensu verborum Hyperidis dixi in Epist. crit. ad Hermann. p. 129. Conf. Boehneck. Quæstion. vol. 1. p. 478. SAUPP. Fragm. p. 297.
7. σύμπεντε καὶ σύνεξ Bekkerus. σὺν πέντε καὶ ἓξ (vel ϛ) libri.
8. μέτρια] μετὰ τρία C. ματὰ τρία B.G.
— ἦγον Ald. et Epitome. εἶχον A.B.C.G.
— ἐπειδὴ] ἐπεὶ B.C.G.
9. κατιδὼν Bekkerus. κατεῖδον A. B.C.G. κατεῖδε Ald.
— ἔθηκε] ἀνέθηκε B.C.G.
10. αὐτὸν Sauppius Fragm. p. 297. Scribebatur αὐτόν.
10. ἐκκλέπτει] ἐκλέπτει G.
11. ἐνεγράφοντο] ἐγράφοντο C.
13. αὐτοῖς] Libri αὐτοί. Correxit Bekkerus ex Epitome, quæ αὐτοῖς, nisi quis deleri pronomen malit.
14. πρῶτον ex Epitome pro πρῶτοι, quod om. A.
— Ναυσινίκου] ναυσίκου B. ναυσιλίου G. ναυσινίλου G.
15. ὥς—Φιλόχορος om. B.C.G.
16. Ἰσοκράτης (ἰσόστρατος B.G.)] p. 151 d.
17. εἰς ῥητὴν] Legebatur ὥσπερ εἰς ῥητὴν—. Delevi ὥσπερ, quod non est in Epitome. In ὅπερ mutari voluit Meier. Comment. Andoc. 6. p. 53. et sic haud dubie scripserat interpolator qui addidit,

ρον γνώμας εἰς τὸν δῆμον. τοῦτο δὲ καὶ πρὸ τῆς καταστάσεως τῶν υ′ ἐγένετο, καθὰ Θουκυδίδης ἐν τῇ η′ φησίν "ἐν δὲ τούτῳ τῷ καιρῷ "οἱ περὶ Πείσανδρον ἐλθόντες εὐθὺς τῶν λοιπῶν εἴχοντο, καὶ πρῶτον "μὲν τὸν δῆμον συλλέξαντες εἶπον γνώμην, ι′ ἄνδρας ἑλέσθαι συγ- "γραφέας αὐτοκράτορας, τούτους δὲ συγγράψαντας γνώμην ἐξενεγ- "κεῖν ἐς τὸν δῆμον ἐς ἡμέραν ῥητὴν, καθότι ἄριστα ἡ πόλις οἰκή- "σεται." ἦσαν δὲ οἱ μὲν πάντες συγγραφεῖς λ′ οἱ τότε αἱρεθέντες, καθά φησιν Ἀνδροτίων τε καὶ Φιλόχορος, ἑκάτερος ἐν τῇ Ἀτθίδι· ὁ δὲ Θουκυδίδης τῶν ι′ ἐμνημόνευσε μόνων τῶν προβούλων.

Σύνδικοι: *Ἰσαῖος ἐν τῷ κατ' Ἐλπαγόρου καὶ Δημοφάνους φησὶν "οἱ μετὰ τὰ ἐκ Πειραιῶς, ὡς ἐγὼ ἀκούω, σύνδικοι ἦσαν, πρὸς "οὓς τὰ δημευόμενα ἀπεφέρετο." καὶ Λυσίας ἐν τῷ κατὰ Δεξίππου, εἰ γνήσιος, "καὶ ποῦ ἑτέρωθι ἀνδρεῖός ἐστιν οὗτος; πρὸς τοῖς "θεσμοθέταις γραφὰς γραφόμενος, πρὸς τοῖς συνδίκοις ἀπογραφὰς "ἀπογράφων." μήποτ' οὖν ἀρχή τις ἦν καθεσταμένη μετὰ τὴν ἐκ Πειραιῶς κάθοδον.*

D. (*εἰσέφερε* Suidas, *εἰσέφερον* Photius. Eodem modo variant libri Etym. M. p. 732, 46. ubi editiones veteres *εἰσφέρειν* ex conjectura correctoris.)

1. *δῆμον, ὡς Ἰσοκράτης φησίν. τῶν νῦν ἐγίνετο* 2. *φησὶν* om. 3. *τὸν Πείσανδρον* 6. *ἐς τὸν*] *εἰς τὸν* 7. *αἱρεθέντες, ὥς φησιν Ἀνδροτίων καὶ Φιλόχορος. ὁ δὲ* 10.—16. Hanc gl. om. Suidas. 10. *κατ'* om. (habet Phot.) *καὶ Δημοφάνους—ἀκούω* om. 12. *Λυσίας*] *Λυκοῦργός φησιν ἐν τῷ—ἑτέρωθι* om. 16. *Πειρέως* (*Πειραιῶς* Phot.) *κάθοδον οἱ σύνδικοι*:—

quum non animadvertisset *εἰσέφερε*, quod adhuc legebatur, corruptum esse ex *εἰσφέρον*, quod ego restitui. Veræ scripturæ vestigium servarunt libri quidam Epitomes, in quibus *εἰσέφερον* est. De *συγγραφεῦσι*, qui non videantur iidem esse qui *πρόβουλοι*, dixit Grotius Hist. vol. 8. p. 46. sq.

1. *δὲ* om. B.

2. *υ′* Valesius. *νῦν* libri.

— *ἐγένετο*] *ἐγίνετο* A.B. Ald.

— *καθὰ*] *καὶ* addit B.

— *Θουκυδίδης*] 8, 67.

3. *περὶ*] *περὶ τὸν* A.B. Ald.

4. *γνώμην*] *τὴν γνώμην* C.

5. *τούτους*] *τούτοις* A.

6. *ἐς* ex Thucydide pro *εἰς*, quod om. A.

9. *τῶν ι′*] *ἐν τῷ ι* B.

9. *ἐμνημόνευσε μόνων* (*μόνον* B.)] *ἐμνημόνον* A.

10. *Δημοφάνους* Maussacus. *δημοφάνης* libri, nisi quod *δημοσθένης* B.

11. *φησὶν*] *φασὶν* A.B.G. Ald.

— *τὰ* om. B.C.G.

— *ὡς* addidit Meierus de bonis damn. p. 215.

12. *ἀπεφέρετο*] *ἐπεφέρετο* C.G.

— *Λυσίας* Sauppius Fragm. p. 183. probante Meiero in Vita Lycurgi p. cxvii. Legebatur *Λυκοῦργος*.

13. *γνήσιος*] *ὁ λόγος* addit A.

— *καὶ ποῦ* Bekkerus pro *καί που*.

14. *ἀπογραφὰς*] *γραφὰς* A., om. C.

15. *καθεσταμένη* N. et Epitome. *καθισταμένη* libri ceteri.

Συνήγοροι: Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ καὶ ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. ἐοίκασι παρ' Ἀθηναίοις τινὲς χειροτονεῖσθαι συνήγοροι ἐπὶ τῷ συναγορεύειν.

Σύγκλητος ἐκκλησία: τῶν ἐκκλησιῶν αἱ μὲν ἐξ ἔθους καὶ κατὰ μῆνα ἐγίνοντο· εἰ δέ τι ἐξαίφνης κατεπείξειεν ὥστε γενέσθαι ἐκκλησίαν, αὕτη ἐκαλεῖτο σύγκλητος ἐκκλησία· Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.

Σύνταξις: ἀντὶ τοῦ συντεταγμένη διοίκησις· Δημοσθένης Φιλιππικοῖς "καὶ μίαν σύνταξιν εἶναι τὴν αὐτὴν τοῦ τε λαμβάνειν καὶ "τοῦ ποιεῖν τὰ δέοντα." ἔλεγον δὲ καὶ τοὺς φόρους συντάξεις, ἐπειδὴ χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα, Καλλιστράτου οὕτω καλέσαντος, ὥς φησι Θεόπομπος ἐν ι' Φιλιππικῶν. Ὑπερείδης Δηλιακῷ "σύνταξιν ἐν τῷ παρόντι οὐδενὶ διδόντες, ἡμεῖς "δέ ποτε ἠξιώσαμεν λαβεῖν."

Συντελεῖς: οἱ συνδαπανῶντες καὶ συνεισφέροντες· τὸ δὲ πρᾶγμα συντέλεια καλεῖται, ὡς ἔστιν εὑρεῖν ἐν τῷ Ἀντιφῶντος

1. Ἀντιφῶν—φόρου om. 3. συναγορεύειν, ὡς Ἀντιφῶν φησίν:— 4. κατὰ] μετὰ 8. οἴκησις. Δ. (ἐν addit D.) Φ. 10. ἔλεγεν δὲ ἑκάστους φόρους σύνταξις (συντάξεις Suidas) 12. καλέσαντος. καὶ Ὑπερίδης (Ὑπερείδης Phot.) δὲ φησὶν, σύνταξιν 16. καλεῖται:—

1. ἐν τῇ] ἐν τῷ C., om, B.G.
— ἀπολογίᾳ om. B.C.G. Ald. et, ut conjicio, A. Addidit Maussacus.
2. τοῦ] τῶν A. Ald.
— παρ' Ἀθηναίοις] παναθηναίοις C.
3. τῷ] τὸ B.
4. κατὰ] μετὰ A. Ald.
5. ἐγίνοντο] ἐγένοντο C.G.
— ἐξαίφνης] ἐξαίρετον C.G.
6. Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου] In oratione pro corona (quam τὴν ὑπὲρ Κτησιφῶντος dicere solet Harpocratio) p. 249, 12. in decreto spurio. Ceterum hæc verba fortasse post lemma glossæ collocanda sunt.
8. διοίκησις (quemadmodum Hesychius explicat) Valesius. Legebatur οἴκησις.
— Δημοσθένης] p. 14, 27.
10. ἔλεγον δὲ καὶ τοὺς Valcken. ad Herodot. 2, 109. ἔλεγε δὲ καὶ ἑκάστους B. ἔλεγε δὲ ἑκάστους ceteri. ἔλεγον ἑκάστους Etym. M. p. 736.
14. δέ om. B. C. G. "Recte "Boeckhius monet Hyperidem hoc "dicere non posse, Athenienses "nunc nemini tributa pendere; "priora igitur et posteriora non "posse de iisdem intelligi. Fortasse διδόντες in διδόντων mutandum hoc sensu, concedo Delios "nunc suæ potestatis esse neque "cuiquam tributum pendere, at "nos aliquando, quum Delium "possideremus, ab aliis accepimus. "Delii gloriantor se nunc nemini "tributum pendere, at nos alios "coegimus Delio Apollini tributarios esse." SAUPP. Fragm. p. 287. Dixit de hoc loco Boeckh. Œcon. vol. 1. p. 554.
16. καλεῖται] καλοῦσιν C.

περὶ τοῦ Σαμοθρᾳκῶν φόρου. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Σφηττός: Ἰσαῖος ἐν τῷ πρὸς δημότας περὶ χωρίου. Σφηττὸς δῆμος τῆς Ἀκαμαντίδος.

Σφοδρίας: Ἰσαῖος ἐν τῷ κατὰ Μεγαρέων, εἰ γνήσιος. στρατηγὸς Λακεδαιμονίων ὁ Σφοδρίας. φησὶ δ' αὐτὸν ὁ Καλλισθένης ἐν β' Ἑλληνικῶν εὐήθη τε εἶναι λίαν καὶ κοῦφον πρὸς τὰς ἐλπίδας.

Τ.

Ταυρέας: ὄνομα κύριον.

Ταμίαι: Ἰσαῖος ἔν τινι τῶν κληρικῶν. ἀρχή τις παρ' Ἀθηναίοις ἦν οἱ ταμίαι, ι' τὸν ἀριθμόν. παραλαμβάνουσι δ' οὗτοι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς Νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. εἰσὶ δέ τινες καὶ τῶν ἱερῶν τριήρων ταμίαι, ὡς ὁ αὐτὸς φιλόσοφός φησιν. ὅτι δὲ καὶ τοῖς τριηράρχοις παρείποντο ταμίαι δεδήλωκεν Εὔπολις ἐν Μαρικᾷ.

Ταμύναι: Αἰσχίνης κατὰ Κτησιφῶντος. πόλις ἐστὶν ἐν Εὐβοίᾳ

3. 4. ΣΦΙΤΤΟΙ' (Σφήττιοι Phot. in alia gl.: Σφηττοὶ Suidas). δῆμος τῆς Ἀκαμαντίδος ὁ Σφηττός (φυλῆς Phot.) 5. Ἰσαῖος—γνήσιος om. 6. Σφοδρίας ἐστίν. φασὶν δὲ αὐτὸν εὐήθη—ἐλπίδας:— 10. Ἰσαῖος—κληρικῶν om. 13. τῆς βουλῆς, ὡς Ἀριστοτέλης. εἰσὶν δέ τινες καὶ τῶν τριήρων 14. φιλόσοφός φησιν om. 16. ἐν Μαρικᾷ om. 17. Αἰσχίνης κ. Κτ. om. ἐστὶν om. Suidas.

1. Δημοσθένης] p. 261, 3.
— ἐν τῷ om. C.
3. ΣΦΗΤΤΟ'Σ Blancardus. Libri σφιττός.
— περὶ om. B.G.
— χωρίου] χωρίον A.G.
— Σφηττός Epitome. σφητὸς B. σφιττὸς A.G. Ald.
5. γνήσιος] ὁ λόγος addit A.
6. Καλλισθένης] Dixit de eo etiam Xenophon. Hist. Gr. 5, 4, 20.
7. καὶ om. B.
9. ΤΑΥΡΕ'ΑΣ] Hujus nominis exempla sunt apud Andocidem et Demosthenem.
13. ἐν] ἐν τῇ B.C.
14. ἱερῶν addidit Meierus in Erschii et Gruteri Encyclop. sect. 3. vol. 11. p. 392. ταμίας τοὺς ταῖς ἱεραῖς τριήρεσι λειτουργοῦντας dixit Pollux 8, 116. Aristotelis de his triremibus locum excerpsit scriptor Lexici rhet. Cantabr. s. v. Πάραλος καὶ Σαλαμινία p. 676, 2.
17. ΤΑΜΥ'ΝΑΙ] ταμέναι A. De accentu Ταμύναι, non Ταμῦναι, quod scripsit Bekkerus, v. L. Dindorf. in Thesauro vol. 7. p. 1803.
— Αἰσχίνης] p. 66, 5.
— κατὰ] ἐν τῷ κατὰ B.C.

ἐν τῇ χώρᾳ τῇ Ἐρετριέων αἱ Ταμύναι, ἔνθα καὶ ἱερὸν Ἀπόλλωνος, ὡς οἵ τε τὰ Εὐβοϊκὰ γράψαντες μαρτυροῦσι καὶ Σιμωνίδης ἐν τῷ εἰς Λυσίμαχον τὸν Ἐρετριέα θρήνῳ.

Τὰ τῶν φωρῶν κρείττω: Ὑπερείδης ἐν τῷ κατ' Ἀθηνογένους β'. παροιμία ἐστὶ λεγομένη κατὰ τῶν πλείω φερομένων ὧν ἠδίκησαν.

Τεταρτημόριον: Δείναρχος ἐν τῇ κατὰ Καλλισθένους εἰσαγγελίᾳ. τεταρτημόριόν ἐστι τὸ τέταρτον μέρος τοῦ ὀβολοῦ, τουτέστι χαλκοῖ β'.

Τετρακόσιοι: Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως. οἱ υ' πρὸ ζ' ἐτῶν κατέστησαν τῶν λ' τυράννων παρ' Ἀθηναίοις, οἵτινες δ' μῆνας ἦρξαν τῆς πόλεως, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Τετραρχία: Δημοσθένης Φιλιππικοῖς. τεττάρων μερῶν ὄντων τῆς Θετταλίας ἕκαστον μέρος τετρὰς ἐκαλεῖτο, καθά φησιν Ἑλλάνικος ἐν τοῖς Θετταλικοῖς· ὄνομα δέ φησιν εἶναι ταῖς τετράσι Θετταλιῶτιν, Φθιῶτιν, Πελασγιῶτιν, Ἑστιαιῶτιν. καὶ Ἀριστοτέλης δὲ

1. Ἐρετριέων] ἐρετρεῶν E.T. αἱ Ταμύναι om. Ἀπόλλωνος, ὡς Αἰσχίνης φησὶν καὶ οἱ τὰ Εὐβοϊκὰ (Εὐβοιακὰ Phot.) γράφοντες (γράψαντες Phot. et Suidas):— 4. ΦΩΡΩ^N] φόρων Ὑπερείδης—β' om. 7. Δείναρχος—ἐστι om. 9. χαλκοῖ β'] De additamento Photii dixi s. v. σιτοφύλακες in annotatione. 10. Ἀντιφῶν—μεταστάσεως om. 12. τῆς πόλεως:— 14. Δ. Φιλιππικοῖς om. 15. καθὰ—Θετταλικοῖς om. 16. τετράσι] τέτρασιν (τετάρσιν Phot.) 17. Φθιῶτιν om. Suidæ codices. Ἑστιαιῶτιν] ἀστιεῶτιν E.T.D., Photius et Suidas. In ἀστιῶτιν vel ἀστεῶτιν corruptum in codicibus Etym. M. p. 754, 39. δὲ om. Suidæ codex A.

2. Εὐβοϊκὰ] εὐβοεικὰ A.C. Ald.

— Σιμωνίδης Valesius. Legebatur Σίμων.

4. ΦΩΡΩ^N Kiesslingius. φώρων O. Ceteri φόρων.

5. ἐστὶ om. B.C.

— κατὰ τῶν om. A.B.C.

— πλείω—ἠδίκησαν] Id est *plura quam pro commissis et malefactis*, i. e. *non ex merito*, ut explicat Bernhardyus ad Suidam.

— πλείω] πλεῖον Ald. πλεῖον δὲ A.B. πλείω δὲ C.

— φερομένων] φερομένοις A. φερόμενοι B.

7. τῇ] τῷ A.

11. πρὸ ἑπτὰ ἐτῶν Epitome. Libri πρὸς ἑπτὰ, omisso ἐτῶν.

12. ἐν] ἐν τῇ C.

14. Δ. Φιλιππικοῖς om. C. Est p. 117, 26.

16. Θετταλικοῖς] θετταλοῖς B.C.

— ὄνομα] τοὔνομα B.C.

17. Ἑστιαιῶτιν Maussacus. ἑστιῶτιν Ald. αἰστιεῶτιν A.N. αἰτιεῶτιν B. C.

— Ἀριστοτέλης] Aristotelis testimonio hac in re utitur etiam schol. Eurip. Rhes. 307.

ἐν τῇ κοινῇ Θετταλῶν πολιτείᾳ ἐπὶ Ἀλεύα τοῦ Πύρρου διῃρῆσθαί φησιν εἰς δ' μοίρας τὴν Θετταλίαν. εἴη ἂν οὖν λέγων ὁ Δημοσθένης τὴν τετραρχίαν. ὅτι δὲ Φίλιππος καθ' ἑκάστην τούτων τῶν μοιρῶν ἄρχοντα κατέστησε δεδηλώκασιν ἄλλοι τε καὶ Θεόπομπος ἐν τῇ μδ'.

Τετρυπημένη: Αἰσχίνης κατὰ Τιμάρχου. Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ γράφει ταυτί "ψῆφοι δέ εἰσι χαλκαῖ, αὐλίσκον "ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι, αἱ δὲ ἡμίσειαι "πλήρεις. οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους, ἐπειδὰν εἰρημένοι ὦσιν "οἱ λόγοι, παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν β' ψήφους, τετρυπη-"μένην καὶ πλήρη, φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις ἵνα μήτε πλήρεις "μήτε πάντη τετρυπημένας λαμβάνωσιν."

Τετύφωμαι: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἀντὶ τοῦ ἐμβεβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα, ἤτοι ἀπὸ τῆς βροντῆς, ἢ ἀπὸ τῶν ἐπὶ τὸν Τυφῶνα ἀναφερομένων σκηπτῶν, ἢ ἀπὸ τῶν Τυφωνικῶν καλουμένων πνευμάτων, ἃ δὴ καὶ αὐτὰ ἐξίστησιν ἀθρόως καταρραγέντα· καὶ γὰρ Ἀλκαῖός φησι

πάμπαν δὲ τυφῶς ἔκ σ' ἔλετο φρένας.

1. ἐπὶ Ἀλεύα τοῦ] ἐπιαλευατου (sine accentibus E.T. ἐπὶ ἀλιέα τοῦ D. ἐπὶ ἀλευάτου Suidæ codices quidam.) 2. οὖν om. Suidæ codex A. 3. τὴν τετραρχίαν:— 5. Αἰσχίνης—ταυτί om. 6. δέ om. 11. πάντη om. E.T.D. et Photius. Pro eo ταύτῃ est apud Suidam in codicibus. 12. Δ. ὑπὲρ Κτ. om. 14. καταφερομένων 17. ἔκ σ' ἔλετο] ἐκδελέγετο

1. Ἀλεύα τοῦ Epitome. ἀλευάτου Ald. ἀλιέα τὸν A. ἀλιέως τοῦ B.C.
— Πύρρου] πύρρον A.
2. ὁ om. B.C.
4. ἄλλοι τε ante δεδηλώκασιν C.
5. ΤΕΤΡΥΠΗΜΕ'ΝΗ A. B. C. G. τετρυπημένοι Ald.
— Αἰσχίνης] p. 11, 34.
— κατὰ] κατὰ τοῦ A. Ald.
8. Post πλήρεις in A.B.C.D. leguntur verba μήτε ταύτῃ (ταῦτα A.) ὑπομείνας. Quæ depravata sunt ex μήτε πάντη τετρυπημένας, quod legitur lin. 11.
— ἐπὶ] ὑπὸ B.C.
10. φανερὰς] φανερὰν B.C.
— ἀντιδίκοις] ἀδίκοις A.
— μήτε] μὴ A.
11. πάντη] ταύτῃ A.B. ταύτας C.
— τετρυπημένας om. B.C. et in lacuna A. Vid. ad lin. 8.
12. Verba Δημοσθένης ὑπὲρ Κτησιφῶντος (p. 229, 1.) in C. et Epitome omissa, in libris ceteris infra post fragmentum Alcæi collocata huc transposui, ut mos postulabat Harpocrationis. Similiter s. v. τρίτον ἡμίδραχμον verba Δείναρχος κατὰ Λυκούργου in C. trajecta sunt in finem glossæ, et s. v. ὑπὸ γῆν οἰκοῦντες verba Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας.
— ἐμβεβρόντημαι] ἐκβεβρόντημαι C.
14. Τυφῶνα] τυφῶ C.
— ἀναφερομένων Bekkerus pro καταφερομένων.
15. ἃ δὴ καὶ] ἤδη καὶ B. C. ἤδη θ' A.
— καὶ γὰρ et φησιν addidi ex Epitome.
— Ἀλκαῖος] καὶ ἀλκαῖος B.
17. ἔκ σ' ἔλετο Bekkerus præ-

Τηλεφάνης: αὐλητής· Δημοσθένης κατὰ Μειδίου. ὄνομα κύριον.

Τῆνος: μία τῶν Κυκλάδων νήσων.

Τῆτες: ἀντὶ τοῦ τούτῳ τῷ ἔτει Λυσίας ἐν τῇ πρὸς Πυθόδημον ἀπολογίᾳ, εἰ γνήσιος, Ἀριστοφάνης Γήρᾳ καὶ οἱ ἄλλοι.

Τιλφώσσαιον: Δημοσθένης κατ' Αἰσχίνου. ὄρος ἐστὶ μικρὸν ἀπέχον τῆς λίμνης τῆς Κωπαΐδος, ὡς Θεόπομπος ἐν ταῖς Φιλιππικαῖς.

Τίμημα: ἀντὶ μὲν τοῦ ἐνέχυρον καὶ οἷον ἀποτίμημα Λυσίας ἐν τῷ ὑπὲρ Καλλίου· "οὗτοι δὲ φάσκοντες πλείονος μισθώσεσθαι καὶ "τίμημα καταστήσεσθαι." τοῦτο δ' ἐν τοῖς ἑξῆς ἀποτίμημα καλεῖ. τίθεται δὲ καὶ ἀντὶ τοῦ οἷον κεφάλαιον, ὡς ἐν τῷ περὶ τῶν συμμοριῶν Δημοσθένους. λέγεται δὲ καὶ τὸ ἐκ τῆς οὐσίας εἰσφερόμενον παρ' ἑκάστου τίμημα παρὰ τῷ αὐτῷ ἐν τῷ κατ' Ἀφόβου. ἐν δὲ τῷ κατὰ Μειδίου ἐπὶ τῆς τιμωρίας εἴρηται.

vel ἐκ δ' ἐλέγετο E.T. et Suidas. ἐκ δὲ ἐλέγετο D. ἐκ δε λέγετο Photii codex.

1. Δ. κατὰ Μ. om. 3. Λυσίας—καὶ οἱ ἄλλοι om. 5. ΤΙΛΦΩΣΣΑΓΟΝ (Τιλφώσαιον Suidas). ὄρος ἐστὶ—Κωπαΐδος :— 8. μὲν om. ἀποτίμημα, ὡς Λυσίας φησὶν, οὗτοι 9. πλείονα μισθώσασθαι—καταστήσασθαι 12. Δημοσθένης 13. Post τίμημα apud Suidam hæc sunt illata verba scriptoris non nominati, ταῖς οὐσίαις δὲ ἑκάστου τιμήματα πρὸς λόγον τῆς δυνάμεως ἐπιθεὶς δικαιότατον πολίτευμα εἰσηγήσατο, quæ ex præcedente glossa τίμημα, ubi pariter leguntur, huc irrepsisse recte judicavit Gaisfordius. παρὰ—Ἀφόβου om. 14. Μειδίου] μηδίου E.T.

euntibus Toupio Emend. vol. 3. p. 176. et Schneidero, quorum ille ἐκ δ' ἔλετο, hic ἐξέλετο correxerat. Libri ἐκ δ' ἐλέγετο vel ἐκ δὲ λέγετο.

1. Δημοσθένης] p. 520, 9. Hanc gl. vulgo post Τηλεφάνης lectam huc transposui ubi habet Epitome.

— ὄνομα om. B.

2. ΤΗ῀ΝΟΣ] Memoratur ab Demosthene p. 1207, 17.

4. γνήσιος] ὁ λόγος addit A.

— Ἀριστοφάνης (καὶ ἀριστοφάνης ἐν B.)] Fragm. 196.

— καὶ οἱ (οἱ om. B.) ἄλλοι om. C.

5. Δημοσθένης] p. 385, 5.

6. ταῖς Φιλιππικαῖς] τοῖς φιλιππικοῖς Ald. Vide quæ s. v. ἀναγκαῖον dixmus.

8. μὲν om. B.

— ἐνέχυρον] ἐνεχύρου B.C.G.

8. ἐν τῷ ὑπὲρ] ὑπὲρ τοῦ C.

9. πλείονος μισθώσεσθαι—καταστήσεσθαι Dobræus. Legebatur πλείονα μισθώσασθαι — καταστήσασθαι (καταστήσεσθαι Ald.)

10. τίμημα eodem sensu usurpatur in titulo 82. Corp. Inscr. ubi v. 21. legendum est, ὃς ἂν πείθῃ τοὺς δανείζοντας ἄρχοντας τιμήματι ἢ ἐγγυητῇ. SAUPP. Fragm. p. 192.

— καλεῖ] δηλοῖ C.

11. τίθεται] γίνεται A.

— δὲ καὶ om. B.C.

— ὡς ἐν] ὡρεῖν B. ὡς—Δημοσθένης om. C.

12. Δημοσθένους (p. 183, 5.) Bekkerus. Legebatur Δημοσθένης. Conf. quæ s. v. ὅτι ἑξακισχίλιοι dicta sunt.

13. κατ' Ἀφόβου] p. 815, 13.

— κατὰ Μειδίου] p. 504, 18.

Τιτακίδαι: ⁴Ἰσαῖος ἐν τῷ πρὸς Νικοκλέα. δῆμός ἐστι τῆς Αἰαντίδος φυλῆς οἱ Τιτακίδαι, ὡς Νίκανδρος ὁ Θυατειρηνὸς ἐν τῷ περὶ τῶν δήμων δηλοῖ. μήποτε δὲ ἀπὸ Τιτακοῦ ὠνομάσθησαν, οὗ μνημονεύει ᵛἩρόδοτος.

Τοπεῖον: ⁴Ἰσαῖος κατὰ Διοκλέους. τοπεῖα λέγουσι τὰ σχοινία· Στράττις Μακεδόσι

τὸν πέπλον δὲ τοῦτον
ἕλκουσ' ὀνεύοντες τοπείοις ἄνδρες ἀναρίθμητοι
εἰς ἄκρον ὥσπερ ἱστίου τὸν ἱστόν.

ᵛἌρχιππος ᵛὌνῳ

τροχιλίαισι ταῦτα καὶ τοπείοις
ἱστᾶσιν οὐκ ἄνευ πόνου.

Τί ἐστι τὸ ἐν τοῖς Δημοσθένους Φιλιππικοῖς "καὶ τὸ θρυλούμενόν "ποτε ἀπόρρητον ἐκεῖνο," Θεόπομπος ἐν λα΄ δεδήλωκε. φησὶ γὰρ "καὶ πέμπει πρὸς τὸν Φίλιππον πρεσβευτὰς ⁴Ἀντιφῶντα καὶ Χαρί-"δημον πράξοντας καὶ περὶ φιλίας, οἳ παραγενόμενοι συμπείθειν

1. Ἰσαῖος—Νικοκλέα om. 2. οἱ Τιτακίδαι—δηλοῖ om. 3. Τιτακοῦ] Τιτάκου (Τιτακοῦ Suidas) 5. ΤΟΠΕΙ῀ΟΝ (τόπιον Phot.). τὰ σχοινία λέγουσιν τοπία (τοπεῖα Suidas). Στράττις Μακεδόσιν, τὸν πέπλον δὲ τοῦτον ἕλκουσι δεσμεύοντες τοπείοις (τοπίοις Phot.) ἄνδρες:— 12. τὸ om. D. καὶ τὸ] καὶ om. D. θρυλούμενον] θρυλλούμενον D. 15. τὸν Φίλιππον] τὸν om. Phot. et Suidas. 16. πράξοντας Phot. et Suidas. πράξαντας E.T.D.

2. οἱ Τιτακίδαι om. C.

— Θυατειρηνὸς Maussacus. θυατηρινὸς libri, nisi quod θυατηρηνὸς B. Easdem corruptelas notavimus s.v. μέδιμνος.

3. ἀπὸ] ἀπὸ τοῦ N.

— Τιτακοῦ Sauppius (qui citat suam de demis urbanis Ath. comment. p. 8.). Scribebatur Τιτάκου. Recto accentu apud Herodot. 9, 73.

5. κατὰ] ἐν τῷ κατὰ C.Q.

— τοπεῖα] De his dixit Boeckh. Œc. vol. 3. p. 144.

— λέγουσι] λέγεται C.

8. ἕλκουσ' ὀνεύοντες Meinekius Com. vol. 1. p. 432. ed. min. Libri ἕλκουσι δονεύοντες.

9. ἄκρον] ἄλλον B. Suspectum ἄκρον producta syllaba priori. ἄκραν contra metrum Hemsterh. ad Polluc. 10, 130.

9. ἱστίον Wordsworthus *Athens and Attica* p. 181. Legebatur ἱστόν.

— τὸν om. C.

— ἱστὸν Dobræus. Libri εἰς τόν.

11. τροχιλίαισι Dobræus. τραχηλίαις A.Q. Ald. τραχηρίαις B. τροχηλίαις C.G.

12. πόνου Maussacus. Libri γόνου.

13—p. 291, 5. Τί ἐστι—ἔπραττον] Hæc ex Epitome addidi. Comparandæ cum his scholiastarum annotationes ad locum Demosthenis vol. 8. p. 84 seq. ed. Oxon., ubi p. 85, 21. Φιλίππου in Ἀμφιπόλεως mutandum cum Kustero in annot. ad Suidam s. v. τί ἐστιν.

13. Δημοσθένους] p. 19, 27.

15. καὶ ante περὶ φιλίας, merito

" αὐτὸν ἐπεχείρουν ἐν ἀπορρήτῳ συμπράττειν Ἀθηναίοις ὅπως ἂν λά-
" βωσιν Ἀμφίπολιν, ὑπισχνούμενοι Πύδναν. οἱ δὲ πρέσβεις οἱ τῶν
" Ἀθηναίων εἰς μὲν τὸν δῆμον οὐδὲν ἀπήγγελλον, βουλόμενοι λανθά-
" νειν τοὺς Πυδναίους, ἐκδιδόναι μέλλοντες αὐτούς, ἐν ἀπορρήτῳ δὲ
" μετὰ τῆς βουλῆς ἔπραττον."

Τορώνη: Ἰσοκράτης Παναθηναϊκῷ. πόλις ἐν Θράκῃ, ὡς Ἔφορος ἐν δʹ ἱστορεῖ.

Τοὺς ἑτέρους τραγῳδοὺς ἀγωνιεῖται: Λυκοῦργος ἐν τῷ πρὸς Δημάδην. Δίδυμός φησιν ὅτι παροιμία ἐστὶν ἐπὶ τῶν ἁρμοζομένων καὶ σεμνοποιούντων ἑαυτοὺς πρὸς τὰ ἐναντία.

Τοὺς χωρὶς οἰκοῦντας: Δημοσθένης Φιλιππικοῖς "καὶ μετὰ " ταῦτα ἐμβαίνειν τοὺς μετοίκους ἔδοξε καὶ τοὺς χωρὶς οἰκοῦντας " τῶν δεσποτῶν." οὐ μὴν ἀλλὰ καὶ χωρὶς τοῦ προσκεῖσθαι φανερὸν ἂν εἴη τὸ δηλούμενον, ὅτι οἱ ἀπελεύθεροι καθ' αὑτοὺς ᾤκουν, χωρὶς τῶν ἀπελευθερωσάντων, ἐν δὲ τῷ τέως δουλεύοντες ἔτι συνῴκουν.

Τραγικὸς πίθηκος: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἔοικε λέγειν τοῦτο ὁ ῥήτωρ ὡς καὶ περὶ τὴν ὑπόκρισιν ἀτυχοῦντος τοῦ Αἰσχίνου, καὶ μιμουμένου μᾶλλον τραγῳδοὺς ἢ τραγῳδεῖν δυναμένου.

Τραπεζοφόρος: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας ὅτι ἱερωσύνης

6. ΤΟΡΩ'ΝΗ. πόλις ἐν Θρᾴκῃ :— 8. Λυκοῦργος—ὅτι om. 10. ἐναντία, ὡς Δίδυμος φησίν :— 13. προσκεῖσθαι] προκεῖσθαι 14. αὑτοὺς] ἑαυτοὺς 16. Hanc gl. omisit Suidas, alia substituta. ΤΡΑΓΙΚΟ'Σ ΠΙ'ΘΗΚΟΣ. ἔοικεν τοῦτο λέγειν Δημοσθένης ὡς καὶ 19. Λυκοῦργος—ἱερείας ὅτι om.

suspectum Bernhardyo ad Suid. vol. 2. p. 1121., fortasse delendum.

6. Ἰσοκράτης] p. 245 d.

— ὡς] ὡς ὁ A. Ald.

8. Λυκοῦργος—Δημάδην om. C.

— ἐν τῷ om. G.

9. Δίδυμός φησιν ὅτι π. A. B. C. G. καὶ Δίδυμος, π. Ald.

10. τὰ ἐναντία] τἀναντία C. "Hemsterhusius πρὸς τὰ ἐπιόντα καὶ " σεμνοποιούντων ἑαυτοὺς, solum ἐνόν- " τα Toupius. Lycurgi ratio, qui " formulam usurpavit, cum obscu- " ra sit, licebit eam de gloriosis " hominis conatibus accipere, qui " post acceptam cladem ad majo- " res contentiones tanquam ad " alteram ludorum scenicorum " commissionem sese pararet." BERNH. ad Suid. vol. 2. p. 1180. τὰ ἐναντία defendit etiam Saupp. Fragm. p. 262. cui proverbium ad prævaricationem referendum esse videtur.

11. Δημοσθένης] p. 50.

12. ἐμβαίνειν] ἐμβάλλειν B.

13. προσκεῖσθαι] προκεῖσθαι C.

16. Δημοσθένης] p. 307, 25. ubi αὐτοτραγικὸς πίθηκος.

17. περὶ ex Epitome pro παρά.

— τοῦ Αἰσχίνου] αἰσχίνης B. αἰσχύνης C.

18. μιμουμένου] μιμουμένους C.

— μᾶλλον—δυναμένου om. Ald.

— δυναμένου] δυναμένους B.C.

ὄνομά ἐστιν ἡ τραπεζοφόρος. ὅτι δ' αὕτη τε καὶ ἡ κοσμὼ συνδιέπουσι πάντα τῇ τῆς Ἀθηνᾶς ἱερείᾳ αὐτός τε ὁ ῥήτωρ ἐν τῷ αὐτῷ λόγῳ δεδήλωκε καὶ Ἴστρος ἐν ιγ' τῶν Ἀττικῶν συναγωγῶν.

Τριακάς: *τοῖς τετελευτηκόσιν ἤγετο ἡ τριακοστὴ ἡμέρα διὰ θανάτου, καὶ ἐλέγετο τριακὰς, ὡς Ὑπερείδης ἐν τῷ περὶ τοῦ Ἱππέως κλήρου δηλοῖ, ἑνικῶς τε καὶ πληθυντικῶς τριακάδα καὶ τριακάδας τὴν ἡμέραν καλῶν.*

Τριβωνετόμενοι: *Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. ἤτοι ἀντὶ τοῦ τριβὰς ἐμποιοῦντες, ἢ ἀντὶ τοῦ τεχνάζοντες, ἀπὸ τοῦ τρίβωνες εἶναι πραγμάτων.*

Τρίγωνον δικαστήριον: *Λυκοῦργος κατ' Ἀριστογείτονος. ὄνομά ἐστι δικαστηρίου, ἴσως καὶ τῷ σχήματι τριγώνου ὄντος. μνημονεύουσιν αὐτοῦ ἄλλοι τε καὶ Μένανδρος ἐν τῇ* * * *

1. *τραπεζοφόρος. καὶ* (*καὶ* om. Suidæ codex A.) *αὐτή* (*αὕτη* Phot.) *τε καὶ* 2. *ἱερείᾳ* (*ὡς* addit Suid.) *Λυκοῦργος ἐν τῷ αὐτῷ λόγῳ δεδήλωκεν*:— 4. *ἡ τριακοστὴ*] *ἡ* λ̄ E.T.D. 5. *τριακάς. Ὑπερίδης* (*Ὑπερείδης* Phot.) *δηλοῖ ἑνικῶς* 8. *Ἀντιφῶν—φόρου* om. 9. *ἀπὸ*] *ἀντὶ* 11. Λ. κ. Ἀ. om. 12. *ὄντος*:—

1. *ὅτι δ' αὕτη* Bekkerus. *ὅτι αὐτή* A. Ald. *ὅτι ἡ αὐτή* B.C.

— *κοσμὼ*] *κόσμω* A.B.C.

— *συνδιέπουσι*] *συνδιέπουσα* A. G. *διέπουσα* B.C.

2. *τῇ* ex Epitome pro *τά*.

— *ἱερείᾳ* ex Epitome pro *ἱερεῖα*.

— *αὐτός*] *ὡς αὐτός* A.

4. ΤΡΙΑΚΑ'Σ] *ἡ τριακοστὴ τοῦ μηνὸς* addit Ald. ex Suida et om. *ἡ*.

— *τριακοστὴ* Photius Suidæque codex Leidensis, ut correxerant Kuhnius ad Polluc. 1, 66. et Jungerm. ad 3, 102. *τριακάτη* Ald. *τριακὰς* A.B.C.G. Error ortus ex nota numeri Λ, quæ in antiquioribus libris fuit et in codicibus Epitomes est, ab librariis non recte literis expressa.

— *διὰ* (*τοῦ* addit C.) *θανάτου*] Sic etiam Zonaras p. 1743. *καὶ ἡ διὰ θανάτου ἡμέρα τριακὰς ἐλέγετο.* Verba *διὰ θανάτου*, nisi aut temere illata sunt aut *post mortem* significare voluit Harpocratio, quod nullo defendi potest exemplo satis simili, corrupta sunt habenda. *διὰ τὴν Ἑκάτην* parum probabiliter Hemsterh. ad Luciani Dial. mort. 1, 1., qui conjecturæ suæ speciem aliquam conciliare studuit collata Proverb. Append. Vat. 4, 16. (sive Diogenian. 8, 39.), *τιμᾶται ἡ τριακὰς ἐν Ἅιδου διὰ τὴν Ἑκάτην μυστικώτερον* etc. Tolerabilior Schoemanni conjectura est in annot. ad Isæum p. 219. *ἀπὸ τοῦ θανάτου*, collato Lex. rhet. Bekk. p. 268. *καθέδραι· ὑποδοχαὶ ἀνθρώπων. τῇ τριακοστῇ γὰρ ἡμέρᾳ τοῦ ἀποθανόντος οἱ προσήκοντες ἅπαντες καὶ ἀναγκαῖοι κοινῇ ἐδείπνουν ἐπὶ τῷ ἀποθανόντι.* Qui locus ostendit satis fuisse dici *ἡ τριακοστὴ ἡμέρα*, omisso illo *διὰ θανάτου* sive sic sive aliter scripto.

6. *τριακάδα* (*τριάδα* Ald.) *καὶ* habent Ald. et Epitome, om. codices.

9. *ἀπὸ* N. Ceteri *ἀντὶ*.

10. *εἶναι π.*] *π. εἶναι* B.C.

11.—13. om. C.

11. *Λυκοῦργος* om. B.

12. *ὄντος*] *ὄντα* A.

Τριηράρχημα: τὸ εἰς τὴν τριηραρχίαν ἀνάλωμα· Δημοσθένης ἐν τῷ περὶ τοῦ τριηραρχήματος. ἐπιτριηράρχημα δὲ τὸ ἀναλισκόμενον μετὰ τὸν τῆς τριηραρχίας χρόνον.

Τρικάρανον: Δημοσθένης ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν. φρούριόν ἐστι τῆς Ἀργείας οὕτω καλούμενον.

Τρικέφαλος: Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην "μικρὸν δ' ἄνω τοῦ "τρικεφάλου παρὰ τὴν Ἑστίαν ὁδόν." τὸ πλῆρές ἐστι τοῦ τρικεφάλου Ἑρμοῦ. τοῦτον δέ φησι Φιλόχορος ἐν γ' Εὐκλείδην ἀναθεῖναι Ἀγκυλῆσιν.

Τριπτῆρα: Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους. Νίκανδρος ἐν ις' τῆς Ἀττικῆς διαλέκτου φησὶν ὅτι τριπτήρ ἐστι πιθάκνη ἐκπέταλος, οἷα τὰ ἐπιλήνια. ἐπὶ τούτου δ' ἂν τάττοιτο νῦν παρὰ τῷ ῥήτορι· πολλὰ γὰρ καὶ ἄλλα σημαίνει τοὔνομα.

Τριτημόριον: Δείναρχος κατὰ Καλλισθένους. ὅτι δὲ τριτημόριόν ἐστιν ς' χαλκοῖ Φιλήμων ἐν ἀρχῇ τοῦ Σαρδίου διδάσκει.

1. Δημοσθένης—τριηραρχήματος om. 4. Δημοσθένης—Μεγαλοπολιτῶν om. 5. Ἀργείας] Ἀργίας 6. πρὸς Εὐκλείδην] περὶ Εὐκλείδου 8. Ἑρμοῦ:— 10. Νίκανδρος—ὅτι om., sed post ἐπιλήνια addit, ὡς Νίκανδρός φησι 14. 15. Hanc gl. habet Photius, omisit Suidas. Quæ apud Photium præcedunt grammatici sunt multo recentioris, repetita ab Suida, τριτημόριον· τοὺς ἓξ χαλκοῦς εἴρηκεν Φιλήμων τοῦ ὀβολοῦ τριτημόριον. θαυμάζω οὖν ἐγὼ πῶς τεταρτημόριον εἰσὶ δύο χαλκοῖ, τριτημόριον δὲ ἕξ· εἰ μὴ

1. τὸ εἰς τὴν τριηραρχίαν ἀνάλωμα] Aliter, sed inepte interpretatus est recentior grammaticus in Bekk. Anecd. p. 191, 30. τριηράρχημα, ὅταν ὁ τριήραρχος περισσὸν δίδωσι τοῖς ναύταις, notatus a Boeckhio Œc. vol. 1. p. 702.

— Δημοσθένης] p. 1220, 12.

3. τῆς om. B.

4. ΤΡΙΚΑ'ΡΑΝΟΝ] τρικάρηνον B.

— Δημοσθένης] p. 206, 6,

— ὑπὲρ addidit Blancardus.

5. ἐστι] τι A.

— Ἀργείας] ἀργίας C.

6. Ante Ἰσαῖος Ald. hanc intulit Suidæ glossam, ὁ Ἑρμῆς· ὥσπερ διδάσκων τὰς ὁδούς, καὶ ἔχων ὑπογραφήν, ποῦ μὲν αὕτη φέρει ἡ ὁδός, ποῦ δὲ ἐκείνη. ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν. ἔστι δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν, ὡς Φιλόχορός φησιν ἐν τρίτῃ, Προκλείδης Ἱππάρχου ἐραστής.

6. πρὸς Εὐκλείδην] περὶ εὐκλείδου G. cum Epitome.

7. Ἑστίαν corruptum. εἰς Ἑστιαίαν vel Ἑστιαίανδε Rossius in libro de demis p. 5.

8. τοῦτον—Ἀγκυλῆσιν] Hæc omisit Ald. non quod in codice deessent, ut opinor, sed quod partim in iis continentur quæ antea ex Suida intulerat.

9. Ἀγκυλῆσιν] Libri Ἀγκύλησιν accentu vitioso: nam Ἀγκυλή oxytonum esse docet Arcadius p. 109, 19.

10. ις'] Scribebatur ς' καὶ ι' (ἕκτῳ καὶ δεκάτῳ Ald.).

11. τριπτήρ] τριπτή B.C.

— ἐκπέταλος] ἐκπέταλος A. Ald.

12. ἐπὶ τούτου] περὶ τούτων A.

14. Δείναρχος] ὁ δείναρχος B.

— δὲ addidi ex Epitome.

15. Σαρδίου] δίου codices, βίου

Τρίτον ἡμίδραχμον: Δείναρχος κατὰ Λυκούργου. τὰς β´ ἥμισυ δραχμὰς οὕτως εἰώθασιν ὀνομάζειν οἱ παλαιοί.

Τριτοπάτορες: Δήμων ἐν τῇ Ἀτθίδι φησὶν ἀνέμους εἶναι τοὺς Τριτοπάτορας· Φιλόχορος δὲ τοὺς Τριτοπάτορας πάντων γεγονέναι πρώτους· τὴν μὲν γὰρ γῆν καὶ τὸν ἥλιον, φησίν, ὃν καὶ Ἀπόλλωνα καλεῖν, γονεῖς αὐτῶν ἠπίσταντο οἱ τότε ἄνθρωποι, τοὺς δὲ ἐκ τούτων τρίτους πατέρας. Φανόδημος δὲ ἐν ϛ´ φησὶν ὅτι μόνοι Ἀθηναῖοι θύουσί τε καὶ εὔχονται αὐτοῖς ὑπὲρ γενέσεως παίδων, ὅταν γαμεῖν μέλλωσιν· ἐν δὲ τῷ Ὀρφέως Φυσικῷ ὀνομάζεσθαι τοὺς Τριτοπάτορας Ἀμαλκείδην καὶ Πρωτοκλέα καὶ Πρωτοκρέοντα, θυρωροὺς καὶ φύλακας ὄντας τῶν ἀνέμων· ὁ δὲ τὸ Ἐξηγητικὸν ποιήσας Οὐρανοῦ καὶ Γῆς φησιν αὐτοὺς εἶναι, ὀνόματα δὲ αὐτῶν Κόττον, Βριάρεων καὶ Γύγην.

Τριτόμηνις: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. τὴν τρίτην τοῦ μηνὸς τριτομήνιδα ἐκάλουν. δοκεῖ δὲ γεγεννῆσθαι τότε ἡ Ἀθηνᾶ

ἄρα ἐκεῖνο μὲν κυρίως ὠνομάσθη τέταρτον (ὃν addit Bernhard.) μέρος τοῦ ὀβολοῦ, τὸ δὲ τριτημόριον ὡς ἀπὸ τεσσάρων μερῶν ὄντων ἀνὰ δύο χαλκοῦς, τρία ἔχον μέρη, ϛ´ χαλκοῦς συνάγει. Spectant hæc ad glossam ex Harpocratione excerptam et videntur ejusdem esse grammatici (fortasse Photii ipsius), qui alteri Harpocrationis glossæ s. v. τεταρτημόριον adjecit quæ illic notavi. P. 333, 15. ἐν ἀρχῇ τοῦ Σαρδίου om.

1. Δ. κατὰ Λυκούργου om. 3. εἶναι τοὺς τριπάτορας (sic) πάντων γεγονέναι D., mediis omissis. 4. Τριτοπάτορας π.] Τριτοπάτρεις π. Phot. et Suidas. 5. μὲν om. D. 6. καλεῖν D. τότε καλεῖν ceteri. ἠπίσταντο D. ἐπίσταντο E.T. Phot. et Suidæ codex A. τοὺς δὲ ἐκ—καὶ Γύγην om. D. 8. τε om. Phot. 9. τοὺς Τριτοπάτορας] Hic desinit T.

Ald. Σαρδίου restituit Hemsterh. ex Polluce 9, 65. qui ipsa apposuit erba Philemonis.

1. Δείναρχος κ. Λυκούργου infra post παλαιοί habet C.

2. εἰώθασιν ὀ.] ὀ. εἰώθασιν B. Ald.

5.—13. Hæc addidi ex Epitome, unde non solum Photius et Suidas, sed etiam Etym. M. p. 768, 1. repetiverunt. De Tritopatoribus videnda Lobeckii disputatio Aglaoph. p. 753., qui p. 761. Philochori sententiam sic interpretatur, Tritopatores primos fuisse patres et quasi πρωτοπάτορας. In oratorum scriptis vel integris vel fragmentis non memorantur Tritopatores. Harpocrationis igitur glossa hæc, ut aliæ plures, ad locum orationis perditæ spectat.

13. Γύγην] Immo Γύην.

14. ΤΡΙΤΟΜΗΝΙΣ Epitome. Scribebatur τριτομηνίς ut apud Hesychium. Dixerunt de hoc v. quos Sauppius Fragm. p. 266. memorat, Hermann. Antiq. sacr. Gr. § 44, 5. O. Mueller. de collegio Εἰκαδέων in Annal. Instituti archæol. Rom. sectionis Francogallicæ vol. 2.

15. τριτομήνιδα] Scribebatur τριτομηνίδα. τριτομηνίαν A.

— ἐκάλουν] καλοῦσι B.C.

— γεγεννῆσθαι τότε ἡ Ἀθηνᾶ restitui ex Epitome. γενέσθαι ὁ (ὁ om.

Ἴστρος δὲ καὶ Τριτογένειαν αὐτήν φησι διὰ τοῦτο λέγεσθαι, τὴν αὐτὴν Σελήνην νομιζομένην.

Τριττύς: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. τριττύς ἐστι τὸ τρίτον μέρος τῆς φυλῆς· αὕτη γὰρ διῄρηται εἰς γ′ μέρη, τριττῦς καὶ ἔθνη καὶ φατρίας, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ.

Τυρμεῖδαι: Ὑπερείδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. δῆμος τῆς Οἰνηΐδος οἱ Τυρμεῖδαι, ὥς φησι Διόδωρος.

Τυρταῖος: Λυκοῦργος ἐν τῷ κατὰ Λεωκράτους. ὁ τῶν ἐλεγείων ποιητής.

Υ.

Ὑακινθίδες: Λυκοῦργος ἐν τῇ κατὰ Λυκόφρονος εἰσαγγελίᾳ. εἰσὶ δὲ θυγατέρες Ὑακίνθου τοῦ Λακεδαιμονίου.

Ὑβάδαι: Λυσίας ἐν τῷ περὶ τῆς Ὀνομακλέους θυγατρός. ἔστι δὲ δῆμος τῆς Λεοντίδος.

Ὑγίεια Ἀθηνᾶ: Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερείας. ἔστι δὲ ἐπώνυμον τῆς Ἀθηνᾶς· καὶ γὰρ Ὑγίεια καλεῖται καὶ Νίκη καὶ Ἱππία καὶ Ἐργάνη.

Ὑπάγουσιν: ἀντὶ τοῦ προάγουσι Δημοσθένης Φιλιππικοῖς.

12. Λυκοῦργος—εἰσὶ δὲ om. 13. Λακεδαιμονίου] βασιλέως Phot. 14. ῾ΥΒΑ´ΔΑΙ. δῆμός ἐστι τῆς Λεοντίδος:— 16. 17. ῾ΥΓΙ´ΕΙΑ] Ὑγεία (Ὑγίεια Suidæ codex A.) 16. Λυκοῦργος—ἱερείας om. ἔστι δὲ ἐπ. τῆς Ἀ.] ἐπ. ἐστιν Ἀ. 17. Ἱππεία 19. προάγουσι] προσάγουσι D., Suidæ codex A. παράγουσιν Z. Φιλιππικοῖς] ἐν Φιλιππικοῖς D.

N.) τῆς ἀθηνᾶς codices. γενέσθαι τότε ἡ Ἀθηνᾶ Ald.

3. ΤΡΙΤΤΥ´Σ] τριτὺς B.C.

— Αἰσχίνης] p. 58, 7.

4. τριττῦς ex Epitome, quæ falso accentu τριττύς, quod correctum apud Photium et Suidam. τριττύν A. Ald. τριτὺν B.C.

5. καὶ ante ἔθνη om. B.

— φατρίας] φατρίαν A.

7. ΤΥΡΜΕΙ´ΔΑΙ] In Epitome et apud Steph. Byz. Τυρμίδαι scriptum. Diphthongum tuetur inscriptionum auctoritas.

8. οἱ Τυρμεῖδαι (Epitome rursus Τυρμίδαι) om. C.

9. Hanc gl. om. B.C.

— Λυκοῦργος] p. 162, 22.

— κατὰ om. A.

12. ῾ΥΑΚΙΝΘΙ´ΔΕΣ] ὑακινθίδαις Ald.

14. τῷ] τῇ A.B. Ald.

— τῆς] τοῦ A.C. Ald.

16. 17. ῾ΥΓΙ´ΕΙΑ Sauppius Fragm. p. 266. Libri ὑγεία.

17. Νίκη καὶ Ἱππία] Hæc cognomina ex eadem oratione Lycurgi memoravit Harpocratio sub his vocabulis.

— τῆς om. A. Ald.

19. Δημοσθένης] p. 127, 27.

Ὑπέρβολος: Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. ἦν δὲ δημαγωγὸς, ὃν Θουκυδίδης ἐν τῇ η′ ἐξωστρακίσθαι φησίν.

Ὑπερήμεροι: οἱ δίκην ὀφλόντες ὁποιανοῦν καὶ τὰ ἐπιτίμια τοῖς ἑλοῦσι μὴ ἀποδιδόντες ἐν ταῖς τακταῖς προθεσμίαις ὑπερήμεροι ἐκαλοῦντο, καὶ τὸ πρᾶγμα ὙΠΕΡΗΜΕΡΊΑ, ὡς ὑποσημαίνει ἐν τῷ κατ' Ἀριστοκλέους Ἰσαῖος, εἰ γνήσιος ὁ λόγος ἐστίν.

Ὑπὸ γῆν οἰκοῦντες: Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ Περίπλῳ λεγομένους Τρωγλοδύτας καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ′ Καταλόγου Κατουδαίους ὀνομαζομένους.

Ὑποκυδεῖς γάρ εἰσιν οἱ τόποι: Δείναρχος ἐν τῷ κατὰ Στεφάνου. ὑποκυδής ἐστιν ὁ δίυγρος, ὡς ἐκ τῆς γ′ Κτησίου φανερόν ἐστιν. Εὐφορίων

οἷόν θ' εἰαμενῆς ὑποκυδέος.

ἐν ἐνίοις μέντοι τῶν ἀντιγράφων παρὰ τῷ ῥήτορι γέγραπται ὑπόκοιλοι.

1. ὙΠΈΡΒΟΛΟΣ. δημαγωγὸς ἦν, ὃν Θουκυδίδης 3. ὙΠΕΡΗ'ΜΕΡΟΙ] ὑπερήμερος D. Phot. ὀφλόντες] ὀφείλοντες 5. καὶ τὸ] τὸ δὲ ὙΠΕΡΗΜΕΡΙ'Α :— 7. Ἀντιφῶν—ὁμονοίας om. 9. ὀνομαζομένους] ὠνομασμένους D. 10. Δείναρχος—Στεφάνου om. E. et Suidas. Totam gl. om. Photius. 11. ὑποκυδής] ὑποκυδὴς δέ D. ὁ δίυγρος τόπος. ἐν ἐνίοις μέντοι τῶν ἀντιγράφων γέγραπται ὑπόκοιλοι :—

1. et 5. τῷ] τῇ A.
2. Θουκυδίδης] 8, 73.
3. ὀφλόντες] Legebatur ὀφείλοντες. Correctum e Lex. rhet. Bekk. p. 311, 29. Notaverat vitium Pierson. ad Mœrin p. 427.
5. ὑποσημαίνει Bekkerus. ὑποσημαίνεται libri, quod retineri potest si Ἰσαίου scribatur.
6. Ἀριστοκλέους Ald. ἀριστοκλέα A. στρατοκλέους B.C.
— Ἰσαῖος om. A.
— ἐστιν om. C. Vide quæ s. v. πεδιακά dicta sunt.
7. Verba Ἀντιφῶν (καὶ ἀντιφῶν B.) ἐν τῷ περὶ ὁμονοίας in libris infra post ὀνομαζομένους posita huc transposuit Bekkerus. Conf. quæ s. v. τετύφωμαι diximus.
8. τοὺς ὑπὸ Ἡσιόδου (τοῦ ἡσιόδου B.)—ὀνομαζομένους om. C.
9. Καταλόγου ex Epitome pro Καταλόγῳ.
— Κατουδαίους Epitome. κατουδέους Ald. κατὰ τοῦ δέους A.B.
10. ὙΠΟΚΥΔΕΓ'Σ] ὑποκύδεις Ald.
— ΓΑ'Ρ] καὶ γάρ A., om. C.
11. ὑποκυδής (ὑποκύδης Ald.) ἐστιν] ὑποκυδεῖς εἰσὶν B.C.
— ὁ δίυγρος] οἱ δίυγροι C. ὁ δίϋγρόν A.
13. θ' εἰαμενῆς Meinekius Anal. Alex. p. 129. Scribebatur τ' εἰαμενῆς (τ' εἰαμένης Ald. τ' εἰαμενεῖς C. G.)
— ὑποκυδέος Salmasius et Ruhnk. in Auctar. Hesych. ad p. 1472. Libri ὑποκυδέες (ὑποκύδεες Ald.)
14. ὑπόκοιλοι] ὑπόκηλοι C. ὑπόκυλοι G. ὑπόκυκλοι B. ὑποκυδεῖς per κοῖλοι τόποι exp. Lex. rhet. Bekk. p. 313.

Ὑπόλογον: Λυσίας περὶ ἀμβλώσεως, εἰ γνήσιος, "οὐχ ὑπόλογον ὄντα" ἀντὶ τοῦ οὐκ ἐν λόγῳ. Δείναρχος ἐν τῷ κατὰ Πυθέου "οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν" ἀντὶ τοῦ οὐδεμία συγγνώμη, οὐδεμία παραίτησις.

Ὑπονομεύοντες: ἀντὶ τοῦ ὑπονόμους ὀρύττοντες Δείναρχος ἐν τῷ κατὰ Καλλίππου.

Ὑποστήσας: ἀντὶ τοῦ ὑποβαλόμενος Ὑπερείδης ἐν τῷ κατ' Ἀντίου.

Ὑποφόνια: τὰ ἐπὶ φόνῳ διδόμενα χρήματα τοῖς οἰκείοις τοῦ φονευθέντος, ἵνα μὴ ἐπεξίωσιν· Δείναρχος ἐν τῷ κατὰ Καλλισθένους καὶ ἐν τῷ κατὰ Φορμισίου, Θεόφραστος Νόμων ιϛ'.

Ὑπωμοσία: τὸ ὑπερτίθεσθαι δίκην προφάσει χρώμενον ἀποδημίᾳ ἢ νόσῳ ἤ τινι τῶν παραπλησίων μεθ' ὅρκου οὕτως ἐλέγετο, καὶ τὸ ποιεῖν τοῦτο ὑπόμνυσθαι, ὡς ἔκ τε ἄλλων δῆλον καὶ ἐκ τοῦ Δημοσθένους κατ' Ὀλυμπιοδώρου.

Ὑσιαί: Ὑπερείδης ἐν τῷ ὑπὲρ Ξενοφίλου. Ὑσιαὶ τῆς Βοιωτίας πόλις, ἧς μνημονεύει καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ.

Φ.

Φαλάγγια: Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρας β' ὅτι τῶν δα-

1. Λυσίας φησὶν, οὐχ ὑπόλογον (vel ὑπολόγον)—λόγῳ. καὶ Δείναρχος, οὐδεὶς ὑπόλογος βουλῇ 7. ὑποβαλλόμενος. Ὑπερίδης (Ὑπερείδης Phot.):— 9. φόνῳ] τῷ φόνῳ 10. φονευθέντος] ἀναιρεθέντος ἐπεξίωσιν. οὕτω Δείναρχος καὶ Θεόφραστος:— 14. ὙΠΟΜΝΥΣΘΑΙ:— 16. ὙΣΙΑΙ. πόλις τῆς Βοιωτίας:— 19. ΦΑΛΑΓΓΙΑ. ζῷόν τι τῶν δακετῶν ἐστι τὰ φαλάγγια (τὸ φαλάγγιον Phot. et libri Suidæ deteriores):—

1. ὙΠΟΛΟΓΟΝ] Libri hic et in verbis Lysiæ ὑπὸ λόγον vel ὑπολόγον. Recte scriptum apud Phot. et Suidam.

— γνήσιος] ὁ λόγος ἐστίν addit A. Conf. quæ s. v. πεδιακά dixi.

3. οὐδεὶς] ἂν addunt B.C.

— τῇ addidi cum Sauppio Fragm. p. 328.

— βουλῇ] βουλὴ A.B.C. Ald.

5. ἀντὶ—ὀρύττοντες om. A.

7. ὑποβαλόμενος Bekkerus. Libri ὑποβαλλόμενος.

10. φονευθέντος] ὑπὸ τοῦ τὴν αἰτίαν ἔχοντος ὅτι ἀνῄρηκεν et mox (post ἐπεξίωσιν) ἐπὶ τῷ μὴ ἐπεξέρχεσθαι μὴ δὲ γενέσθαι τὴν τοῦ φόνου δίκην addidit Ald. ex Suida, cui ipsi hæc verba, quibus caret Photius, temere sunt illata.

10. ἐπεξίωσιν] ὑπεξίωσιν C.

12. χρώμενον Ald. χρωμένων A.B. χρωμένους C.

— ἀποδημίᾳ] ἀποδημίας Ald.

14. ὙΠΟΜΝΥΣΘΑΙ] ὑπόμνησιν A.

— Δημοσθένους] p. 1174.

15. Ὀλυμπιοδ.] λόγου addit Ald.

16. Ὑσιαί—Ξενοφίλου om. C. ὑσίαι Ald. utrobique.

— τῆς Ald. τις A.B.C.

— Βοιωτίας] βοιωτία A.B.

17. ἧς] ὧν B.C.

κετῶν τι ζῷόν ἐστι τὸ φαλάγγιον. δῆλον δὲ ποιεῖ καὶ Ξενοφῶν ἐν α΄ τῶν Ἀπομνημονευμάτων.

ΦΆΛΗΡΟΝ: Λυσίας ἐν τῷ κατὰ Λυσιθέου. Φάληρον δῆμος τῆς Ἀντιοχίδος, ἀφ' οὗ ὁ δημότης Φαληρεύς.

ΦΑΝΊΑΣ: ὄνομα κύριον, τῶν ἐστρατηγηκότων τις.

ΦΑΝΟΣΤΡΆΤΗ: Δημοσθένης κατ' Ἀνδροτίωνος. Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν Ἀθήνησιν ἑταιρῶν ταύτην φησὶν ἐπονομάζεσθαι Φθειροπύλην, ἐπειδὴ ἐπὶ τῆς θύρας ἑστῶσα ἐφθειρίζετο.

ΦΑΡΜΑΚΌΣ: Λυσίας ἐν τῷ κατ' Ἀνδοκίδου ἀσεβείας, εἰ γνήσιος. δύο ἄνδρας Ἀθήνησιν ἐξῆγον καθάρσια ἐσομένους τῆς πόλεως ἐν τοῖς Θαργηλίοις, ἕνα μὲν ὑπὲρ τῶν ἀνδρῶν, ἕνα δὲ ὑπὲρ τῶν γυναικῶν. ὅτι δὲ ὄνομα κύριόν ἐστιν ὁ Φαρμακὸς, ἱερὰς δὲ φιάλας τοῦ Ἀπόλλωνος κλέψας ἁλοὺς ὑπὸ τῶν περὶ τὸν Ἀχιλλέα κατελεύσθη, καὶ τὰ τοῖς Θαργηλίοις ἀγόμενα τούτων ἀπομιμήματά ἐστιν, Ἴστρος ἐν α΄ τῶν Ἀπόλλωνος ἐπιφανειῶν εἴρηκεν. Δημοσθένους δ' ἐν τῷ κατ' Ἀριστο-

3. ΦΑ'ΛΗΡΟΙ (φαληροῖας Phot.). δῆμος—Φαληρεύς :— 5. τις οὕτως ἐκαλεῖτο :— 6. Δ. κατ' Ἀ. om. 8. θύρας] πύλης (sed Athenæus θύρας) 9. ΦΑΡΜΑΚΟ'Σ (Φάρμακος ap. Suidam). ὄνομα κύριον. Λυσίας φησὶν, δύο 12. ἐστιν ὁ Φ.] ἐστι Φ. D. ἐστὶ ὁ Φάρμακος δῆλον Suidas. ἱερὰς δὲ] ἱερὰς γὰρ Suidas. Particulam om. D. 13. ἁλοὺς] ἁλοὺς δὲ D. καὶ ἁλοὺς Suidas. 14. Ἴστρος ἱστορεῖ. Δημοσθένους

1. ζῷον] θηρίων C.

— ἐν] ἐν τῷ A. Ald.

2. Ἀπομνημονευμάτων] 1, 3, 12. Qui locus docet qua ratione araneæ venenatæ ab Hyperide commemorari potuerint. Conf. Jacobs. Lect. Stob. p. 11. SAUPP. Fragm. p. 279.

3. Φάληρον alterum om. C.

4. Ἀντιοχίδος] Sic libri et Epitome. Αἰαντίδος, inscriptionum auctoritate commendatum, restituit Boeckh. Corp. Inscr. vol. 1. p. 309.

5. Hanc gl. om. C. Phanias non memoratur in orationibus quæ supersunt. Phanias quidam Aphidnæus est in testimonio spurio ap. Demosth. c. Midiam p. 544.

— κύριον om. B.

6. ΦΑΝΟΣΤΡΑ'ΤΗ] φανοστράτης B.

— Δημοσθένης] p. 610, 17.

6. κατ'] ἐν τῷ κατ' B.

— Ἀπολλόδωρος — ἐφθειρίζετο] Hæc ex Athenæo 13. p. 586 a.

7. ἐπονομάζεσθαι ex Epitome pro ὀνομάζεσθαι. Verbo ἐπεκαλεῖτο utitur Athenæus.

8. θύρας] Recte fortasse Epitome πύλης.

9. Λυσίας] p. 108, 5.

— γνήσιος] ὁ λόγος addit A.

10. ἐξῆγον] ἐξῆν B.C.

— τῆς πόλεως om. C.

11. ὑπὲρ—ὑπὲρ] ἀπὸ — ἀπὸ B. C.

12. ἱερὰς Ald. et Epitome. ἱερεὺς A.B.C.G.

14. ἀπομιμήματα] ἀποτιμήματα A.

15. ἐπιφανειῶν Maussacus, nisi quod ἐπιφανείων falso accentu scripsit. ἐπιφανιῶν C.G. et, ni fallor, B. ἐπιφανίων A. ἐπιφανέων Ald.

— Δημοσθένης] p. 794, 4.

γείτονος λέγοντος "οὗτος οὖν αὐτὸν ἐξαιρήσεται ὁ φαρμακός" Δίδυμος προπερισπᾶν ἀξιοῖ τοὔνομα· ἀλλ' ἡμεῖς οὐχ εὕρομεν οὕτω που τὴν χρῆσιν.

Φαρμακῶντα: Δημοσθένης ἐν τῷ κατὰ Στεφάνου. ἔστι δὲ φαρμακῶν ὁ ὑπὸ φαρμάκων βεβλαμμένος, ὡς καὶ Θεόφραστος ἐν ιέ Νόμων ὑποσημαίνει.

Φάσις: λέγεται μὲν καὶ ἐπὶ δημοσίου ἐγκλήματος, ὅταν τις ἀποφαίνῃ τῶν δημοσίων ἔχοντα τινὰ μὴ πριάμενον, λέγεται δὲ καὶ ἐπὶ τῶν ὀρφανικῶν οἴκων. ὅτε γὰρ μὴ ἐκμισθώσαιεν οἱ ἐπίτροποι τὸν οἶκον τῶν ἐπιτροπευομένων, ἔφαινεν αὐτὸν ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα, ἵνα μισθωθῇ· ἔφαινε δὲ καὶ εἰ ἐλάττονος ἢ κατὰ τὴν ἀξίαν μεμίσθωτο. τοῦ μὲν οὖν προτέρου τὰ μαρτύρια ἔνεστιν εὑρεῖν παρά τε Δεινάρχῳ καὶ Δημοσθένει, τῆς δὲ περὶ τῶν ὀρφανικῶν οἴκων φάσεως παρὰ Λυσίᾳ πρὸς τὴν φάσιν τοῦ ὀρφανικοῦ οἴκου.

Φάσκωλον: πήρα τις οὕτως ἐκαλεῖτο παρ' αὐτοῖς· Ἰσαῖος καὶ Λυσίας ἐν τῷ πρὸς Δίωνα, Ἀριστοφάνης Θεσμοφοριαζούσαις.

1. οὗτος] οὕτως Phot. 3. Post χρῆσιν Phot. et Suidas pergunt φαρμακῶντα δὲ Δημοσθένης etc. 4. ἐν τῷ om. Στεφάνου ἔφη 5. φαρμάκων] τῶν φαρμάκων 11. ἀξίαν] ἄδειαν (ἀξίαν Suidas) 12. μεμίσθωτο] ἐμεμίσθωτο Etym. M. 15. ΦΑΣΚΩΛΟΝ. πήρα τις οὕτως ἐκαλεῖτο, ὡς

1. αὐτὸν] αὐτὸς B.C.

— Δίδυμος ex Epitome pro Δίδυμος δέ.

2. που] περὶ A. Ald.

4. ΦΑΡΜΑΚΩΝΤΑ] φαρμακῶν. τες (sic) A. φαρμακόν τὰ B. φαρμακῶντα δὲ Ald. qui hæc præcedenti glossæ adjunxit. φαρμακῶντα—Στεφάνου om. C.

— Δημοσθένης] p. 1133, 26.

— Δημοσθένης ἐν τῷ κατὰ (περὶ Ald.)] δημοσθενικὰ κατὰ A.B.

— Στεφάνου] ἔφη addit Ald.

— ἔστι δὲ φαρμακῶν ex Epitome. φαρμακῶν δ' ἐστὶν A.B. Ald. Solum φαρμακῶν habet C.

5. φαρμάκων] φαρμακῶν B.C.

— βεβλαμμένος] ἐμβεβλαμμένος A.

7—14. Hæc om. A.P.Q. Ald., habent B.C.F.G. et Epitome, et Epitome quidem hoc loco, ceteri libri infra post gl. φιμοί.

7. μὲν καὶ addidi ex Epitome.

8. δὲ addidi ex Epitome.

9. ὀρφανικῶν Epitome. ὀρφανῶν B.C.F.G.

— ὅτε τὸν οἶκον habet Epitome, om. B.C.F.G.

11. ἵνα μισθωθῇ habet Epitome, om. B.C.F.G.

— ἀξίαν Suidas. ἄδειαν B.C.F.G. Epitome, Photius et Etym. M. p. 788, 56.

13. Δεινάρχῳ καὶ Δημοσθένει Suidas et Etym. M. p. 789, 1. Ceteri omnes Δεινάρχου καὶ Δημοσθένους.

14. Λυσίᾳ libri meliores Suidæ, ceteri Λυσίου, cum B.C.F.G., Epitome et Photio. In Λυκούργῳ corruptum erat in Etym. M. ubi codices optimi λυσίου, unus Λυσίᾳ, quod restituit Gaisfordius.

15. 16. ΦΑΣΚΩΛΟΝ—Θεσμοφοριαζούσαις.] Hæc Ald. sic interpolavit

Φάϋλλος: Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους. Ὀνόμαρχος ἦν Φωκέων τύραννος· τούτῳ δὲ ζῶντι συνῆρχεν ὁ ἀδελφὸς Φάϋλλος.

Φελλέα: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου. τὰ πετρώδη καὶ αἰγίβοτα χωρία φελλέας ἐκάλουν· Κρατῖνος Ὥραις, Ἀριστοφάνης Νεφέλαις.

Φηγαιεῦσι: Λυσίας ἐν τῷ περὶ τῶν ἰδίων εὐεργεσιῶν. Φηγαιῆς δῆμος τῆς Αἰαντίδος, ὥς φησι Διόδωρος.

Φηλώματα: Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας ἐξαπάτας· φηλοῦν γὰρ τὸ ἐξαπατᾶν.

Φηγοῦσιον: Λυσίας ἐν τῷ ὑπὲρ τοῦ Βατράχου φόνου. Φηγοῦς δῆμος τῆς Ἐρεχθηΐδος.

Ἰσαῖος καὶ Λυσίας :— (Sic etiam Phot.; sola verba ὡς Ἰσαῖος καὶ Λυσίας εἴρηκεν alii glossæ inseruit Suidas.)

1. 2. ΦΑΎΛΛΟΣ] Φαῦλος 3. ΦΕΛΛΕΆ. τὰ π. καὶ αἰ. χωρία, ὡς Ἰσαῖος :— 6. ΦΗΓΑΙΕΥ͂ΣΙ (φηγεῦσι D.). δῆμος τῆς Αἰαντίδος :— 8. Ἀντιφῶν—ὁμονοίας om. φηλοῦν γὰρ τὸ ἐξαπατᾶν om. Suidas. 9. ἐξαπατᾶν. οὕτως Ἀντιφῶν :— 10. ἐν τῷ περὶ Βατράχου (βατράχων Phot.)

ex Suida, omissis nonnullis ejus verbis, φασκώλιον, ἱμάτιον. φορεῖον. φάσκωλον δὲ πήρα τις οὕτως ἐκαλεῖτο παρ' αὐτοῖς. Λυσίας ἐν τῷ πρὸς Δίωνα. ἢ δημόσιον χρῆμα τὸ συναχθὲν εἰς ἀπόθεσιν. καὶ πρός γε μεστὸν κατὰ τὸ πλέον καὶ ἐμβριθέστερον ποιῶν τὸ φάσκώλιον. (Hæc Agathiæ verba esse Suidas ipse dicit.) καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις.

P. 299, 15. οὕτως om. C.

— Ἰσαῖος καὶ addidi ex Epitome. Harpocratio haud dubie etiam titulum orationis Isæi addiderat, quem Epitomator omisit.

16. Ἀριστοφάνης] Fragm. 303.

P. 300, 1. 2. ΦΑΎΛΛΟΣ Valesius. Φαῦλος libri.

1. Δημοσθένης] p. 661, 1.

2. ἦν] τις ἦν Ald.

3. ΦΕΛΛΕΆ] φελέα C.

— Ἰσαῖος] p. 73, 39. ubi v. Schœmann. annot. p. 400. et Sauppii Epist. crit. ad Hermann. p. 60.

— Κίρωνος Blancardus. Libri κήρωνος.

4. φελλέας (φελέας Ald.) ἐκάλουν om. C.

5. Νεφέλαις] v. 71. Post Νεφέλαις Ald. verba Aristophanis et alia addidit, quæ omnia ex Suida sumsit scholiastæ Aristophanis verba repetente, ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ φελλέως, ὥσπερ ὁ πατήρ σου διφθέραν ἐνημμένος. ἦν δὲ ὁ φελλεὺς τόπος τῆς Ἀττικῆς οὕτω καλούμενος τραχύς. αἱ δὲ αἶγες πρὸς τὰ τραχύτερα καὶ ὀρεινότερα διάγουσιν. ἀπὸ τούτου δὲ φελλέτας λέγουσιν οἱ Δωριεῖς τοὺς κισσηρώδεις λίθους.

6. Φηγαιῆς] φηγαιὴς A. φυγαιὴς Ald. φηγαιὸς C. φηγαλὸς a manu rec. B., qui pr. omisit.

7. Αἰαντίδος] Teste Stephano Byz. erant duo demi cognomines, alter tribus Ægeidis, alter Pandionidis. Prius alter eorum ad Æantidem videtur pertinuisse, fortasse is qui postea Ægeidis fuit, quum etiam Marathon Acantidis fuerit. SAUPP. Fragm. p. 187.

8. ἐξαπάτας om. C.

10. ὑπὲρ Valesius. περὶ libri.

Φθόην: Δημοσθένης ἐν τῷ περὶ τῶν Λυκούργου παίδων καὶ Ἰσοκράτης Αἰγινητικῷ. τὴν νῦν φθόισιν λεγομένην φθόην ἔλεγον.

Φιλάμμων: Δημοσθένης ὑπὲρ Κτησιφῶντος Φιλάμμωνα τὸν Ἀθηναῖον πύκτην.

Φιλέψιος: Δημοσθένης κατὰ Τιμοκράτους· Φιλεψίου μνημονεύουσιν οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ ἐπὶ τῷ μεταξὺ τῶν δημηγοριῶν μύθους λέγειν· κεκωμῴδηται δὲ καὶ εἰς πανουργίαν.

Φιλίσκος: Δημοσθένης. ὄνομα κύριον.

Φιλοσοφεῖν: ἀντὶ τοῦ πονεῖσθαι καὶ ἀσκεῖν Ἰσοκράτης περὶ τῆς εἰρήνης. Μένανδρος Θρασυλέοντι "φιλοσοφεῖ δὲ τοῦθ' ὅπως κατα-"πράξεται τὸν γάμον."

Φιλοτησία: Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου· ἡ κύλιξ ἣν κατὰ φιλίαν τοῖς φίλοις προὔπινον φιλοτησία ἐκαλεῖτο, ὡς Ὑπερείδης φησὶ καὶ Ἄλεξις.

Φιμοί: Αἰσχίνης κατὰ Τιμάρχου "καὶ φιμοὺς καὶ κυβευ-"τικὰ ἕτερα ὄργανα." φιμὸς δ' ἐστὶν ὁ καλούμενος κημὸς, εἰς ὃν

1. ΦΘΟΉΝ. τὴν νῦν φθίσιν λεγομένην οὕτως ἐκάλουν, ὡς Δημοσθένης :— Totam gl. om. Suidas, alia substituta. 3. ΦΙΛΑΜΜΩΝ. Δημοσθένης Φιλάμμωνα τὸν Ἀθηναῖον πύκτην φησίν :— Glossam similem habet Suidas. 5. Τιμοκράτους Φιλεψίου μνημονεύει :— D. 8. om. Epitome. Habet, omisso Demosthenis nomine, Photius. Totam gl. omisit Suidas, qui plura de sex aliis Philiscis dixit, post quos sequitur apud eum Φιλιστίδης, ὄνομα κύριον, qua gl. caret Photius. 9. ΦΙΛΟΣΟΦΕΙ͂Ν. ἀντὶ τοῦ ποιεῖσθαι. φιλοσοφεῖ—καταπράξηται τὸν γάμον, ἔφη Μένανδρος οὕτως, καὶ Ἰσοκράτης :— 12.—14. Cum Epitome consentit Photius; partem hujus glossæ, omissa Demosthenis mentione, alii gl. inseruit Suidas. 13. Ὑπερείδης Photius, Ὑπερίδης Epitome et Suidas. 16. καλούμενος om. D., habent Phot. et Suidas, cujus tamen codex A. λεγόμενος.

1. ΦΘΟΉΝ] φθόη B.C.
— Δημοσθένης] p. 1481, 22.
— Ἰσοκράτης] p. 386 d.
2. ἔλεγον] ἐκάλουν A.
3. Hanc proximamque gl. om. C.
— Δημοσθένης] p. 331, 1.
— τὸν Ἀθηναῖον] τὸν ἀθηναίων Ald. τῶν ἀθηναίων A.
5—7. Hæc addidi ex Epitome.
5. Δημοσθένης] p. 742. Φιλέψιον τὸν Λαμπτρέα.
6. οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί] Vid Aristoph. Pl. 179, cum annotatione scholiastæ.
8. Δημοσθένης om. Ald. Est p. 666, 19, 688, 1.
— κύριον] κυριόν. ιε A B.
9. καὶ ἀσκεῖν Gronovius. φάσκειν libri, quod om. Epitome.
10. Μένανδρος] καὶ μένανδρος Ald.
— τοῦθ' ὅπως καταπράξεται Bentleius. Libri τοῦτο ὅπως καταπράξηται.
12—14. Addidi ex Epitome.
12. Δημοσθένης] p. 380 extr.
15. ΦΙΜΟΊ] φιμός B.
— Αἰσχίνης] p. 9, 9.
— ὃν] ὃ B.

ἐνεβάλλοντο, καθά φασιν οἱ γλωσσογράφοι. Δίφιλος Συνωρίδι

ἕλκ' ἐς μέσον τὸν φιμόν, ὡς ἂν ἐμβάλῃ.

Φατέα: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου. Φλυεῖς δῆμος τῆς Κεκροπίδος. ἐκ τούτου δὲ τοῦ δήμου ἦν Εὐριπίδης ὁ τῆς τραγῳδίας ποιητής.

Φορβαντεῖον: Ὑπερείδης ἐν τῷ κατὰ Πατροκλέους. ὅτι τὸ Ἀθήνησι Φορβαντεῖον ὠνομάσθη ἀπὸ Φόρβαντος βασιλεύσαντος Κουρήτων καὶ ὑπ' Ἐρεχθέως ἀναιρεθέντος δεδήλωκεν Ἄνδρων ἐν η' τῶν Συγγενειῶν· ἦν δὲ Ποσειδῶνος υἱὸς ὁ Φόρβας, καθά φησιν Ἑλλάνικος ἐν α' Ἀτθίδος.

Φορίνη: Ἀντιφῶν Ἀληθείας β'. ὅτι καὶ ἐπ' ἀνθρωπείου δέρματος ἐλέγετο ἡ φορίνη καὶ Ἀριστομένης ἐν Γόησι δῆλον ποιεῖ.

Φρατέρες: Δημοσθένης περὶ τοῦ ὀνόματος. φρατρία ἐστὶ τὸ τρίτον μέρος τῆς φυλῆς, φρατέρες δὲ οἱ τῆς αὐτῆς φρατρίας μετέ-

1. καθά—γλωσσογράφοι om. Δίφιλος δέ φησιν ἕλκ' ἐς (ἑλκεσ̈ D. id est ἑλκὲς^{εις})—ἐμβάλῃ (ἐμβαλῇ Phot.):— 3. ΦΛΥΕΓΆ (Φλύεια Suidæ libri plerique). δῆμος τῆς Κ. 6. Ὑπερείδης hic quoque Photius, ceteri Ὑπερίδης 8. δεδήλωκεν—Συγγενειῶν om. 9. καθά—Ἀτθίδος om. 11. Hac glossa reliquisque usque ad ultimam ψιθυριστὴς Ἑρμῆς caret nunc Photii Lexicon, ex quo inter glossas φορητῶς et ψιλεύς octo circiter folia exciderunt. ΦΟΡΙΝΗ. Ἀντιφῶν φησὶν ὅτι ἐπ' ἀνθρωπίνου (ἀνθρωπίου D.) δέρματος—φορίνη:— 13. 14. ΦΡΑΤΈΡΕΣ] φράτερες (φράτρες D.) 13. Δ.—ὀνόματος om.

1. ἐνεβάλλοντο] ἐνεβάλοντο A. Desideratur nomen, quod Toupius supplevit addito οἱ φιμοί. ἀστράγαλοι addidit Kusterus, qui hanc scripturam Etymologico M. p. 795, 20. tribuit, ubi nihil præter ἐνεβάλλοντο legitur.

2. ἕλκ' ἐς] Scribebatur ἕλκεις. Correctum ex Photio et Suida.

— μέσον τὸν ex Epitome pro με, quod exstat in A.B.C.G., omissum in Ald.

— φιμὸν] φημὸν A.B.

3—5. om. C.G.

3. ΦΛΥΈΑ Bekkerus ex Isæo p. 68, 44. φλυεῖα A.B. Ald.

— Κίρωνος Blancardus. κήρωνος A. Ald. κλήρωνος B.

4. δὲ] οὖν B.

7. Φόρβαντος] De hoc Phorbante v. Roulez. ad Ptolem. Hephæst. p. 55. citatum ab Sauppio Fragm. p. 298.

8. ὑπ'] ὑπὲρ B.C.

10. ἐν] ἐν τῇ B.

— ἐν α'] ἐν πρώτῃ C. ἐν πρώτῳ τῆς Ald.

11. ΦΟΡΙΝΗ C.G. et Epitome. φορίνης ceteri.

— Ἀντιφῶν] Hunc jam s. v. πεφοριῶσθαι memoravit.

— ἀνθρωπείου] ἀνθρωπίνου C.

13. ΦΡΑΤΈΡΕΣ Epitome. φράτορες C. Ald. φράτερος A.B.

— Δημοσθένης] p. 995.

— περὶ τοῦ ὀνόματος om. C., τοῦ om. B.

— φρατρία] φατρία A. φρατορία C.

14. φράτερες A. φάτερες B. φράτρες C. φράτορες Ald.

— φρατρίας] φατρίας A.B.

χοντες, καὶ ΦΡΑΤΡΊΖΕΙΝ τὸ τῆς αὐτῆς φρατρίας μετέχειν· ΦΡΑΤΡΊΑΡΧΟΣ δ' ἐστὶν ὁ τῆς φρατρίας ἄρχων.

ΦΡΕΆΡΡΙΟΣ: Δημοσθένης ὑπὲρ Κτησιφῶντος. ἔστι δὲ δῆμος τῆς Λεοντίδος.

ΦΡΟΥ̂ΔΟΣ: Ἀντιφῶν ἐν τῷ περὶ τοῦ Ἡρῴδου φόνου ἀντὶ τοῦ ἐκποδών. παρὰ πολλοῖς δὲ τοὔνομα ἐστίν.

ΦΡΥΚΤΩΡΩ͂Ν: φρυκτωρεῖν ἐστι κυρίως τὸ διὰ πυρσῶν ἀνατεινομένων σημαίνειν ὁτιοῦν· Δείναρχος ἐν τῇ Αἰσχίνῃ συνηγορίᾳ κατὰ Δεινίου.

ΦΡΥΝΏΝΔΑΣ: Αἰσχίνης κατὰ Κτησιφῶντος. ἦν δὲ Ἀθηναίοις περιβόητος ἐπὶ πονηρίᾳ, οὐδὲν ἧττον Εὐρυβάτου.

ΦΡΎΝΩΝ: Δημοσθένης κατ' Αἰσχίνου. οὗτος τῶν ι' πρέσβεων εἷς ἦν τῶν μετ' Αἰσχίνου καὶ Δημοσθένους.

ΦΎΛΑΡΧΟΣ: Δημοσθένης Φιλιππικοῖς. φύλαρχός ἐστιν ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων, ὑποτεταγμένος δὲ τῷ ἱππάρχῳ, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί.

1. ΦΡΑΤΡΙ'ΖΕΙΝ] φρατίζειν D. ΦΡΑΤΡΙ'ΑΡΧΟΣ—ἄρχων om. Suidas. 3. ΦΡΕΑ'ΡΡΙΟΣ (Φρεάριος Suidas). δῆμος τῆς Λεοντίδος. Δ. ὑπὲρ Κτησιφῶντος :— 5. Ἀντιφῶν—φόνου om. 6. ἐστι om. (habet Suidas) 7. ΦΡΥΚΤΩΡΩ͂Ν et ἐστι om. πυρσῶν] πυρῶν (sic libri optimi Etym. p. 801, 23, ubi vulgo πυρός. Suidæ libri πυρσοὺς vel πυρῶν vel πυρσῶν) ἀνατεινομένων σημαίνειν ὁτιοῦν] ἀνατείνειν σημαίνει Suidas. ἀνατεινόμενον σημαίνειν Etym. M. 8. Δείναρχος—Δεινίου om. 10. ΦΡΥΝΩ'ΝΔΑΣ. ὄνομα κύριον. ἦν δ' Ἀθηναίοις (Aliam de hoc nomine glossam habet Suidas.) 12. ΦΡΥ'ΝΩΝ] Φρύνωνος. ὄνομα κύριον Suidas. Δημοσθένης κατ' Αἰσχίνου om. 14. Δημοσθένης Φιλιππικοῖς habet infra post ἱππάρχῳ. φύλαρχός ἐστιν om. 15. ἱππάρχῳ] ὑπάρχῳ D. 16. ὡς—φησί om.

1. φρατρίας] φατρίας A.B. et hic Ald. quoque.
— ΦΡΑΤΡΙ'ΑΡΧΟΣ (φατρίαρχος Ald.) δ' ἐστὶν ὁ] καὶ φρατρίαρχος ὁ C.
2. φρατρίας] φατρίας A.B. Ald.
3. ΦΡΕΑ'ΡΡΙΟΣ] φρεάριος C.N.
— Δημοσθένης] p. 253, 14.
— ὑπὲρ] ἐν τῷ ὑπὲρ B.C.
— ἔστι δὲ om. C.
5. Ἀντιφῶν] p. 132, 45.
7. ΦΡΥΚΤΩΡΩ͂Ν] φρυκτωρεῖν B., om. C.
— φρυκτωρεῖν] φρυκτωρεῖς C.
— πυρσῶν Maussacus. πυρῶν libri.
— ἀνατεινομένων] ἀναφαινομένων C.
8. Αἰσχίνῃ Bekkerus. Libri Αἰσχίνου.
— συνηγορίᾳ] κατηγορίᾳ A.B.C.
— κατὰ] καὶ C.
9. δεινίου C. Ceteri δινίου.
10. Αἰσχίνης κατὰ Κτησιφῶντος (p. 73, 12.) om. A.
11. ἐπὶ—ἧττον] ἐν—ἧσσον C.
12. Δημοσθένης] p. 400, 15. aliisque locis.
— πρέσβεων] πρεσβευτῶν C.
— εἷς ἦν] ἦν εἷς A., om. C.
14. Δημοσθένης] p. 47, 10.
— φύλαρχός ἐστιν om. C.
15. ἱππάρχῳ] ὑπάρχῳ Ald.
16. φησί om. C.

Φυλή: Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρήνης. δῆμός ἐστι Φυλὴ τῆς Οἰνηΐδος· Μένανδρος Δυσκόλῳ

τῆς Ἀττικῆς νομίζετ' εἶναι τὸν τόπον
Φυλήν, τὸ Νυμφαῖον δ' ὅθεν προέρχομαι
Φυλασίων.

Φιλόχορος δ' ἐν ζ' Ἀτθίδος φρούριον αὐτό φησιν εἶναι.

Χ.

Χάρακα: Δημοσθένης τὸ χαράκωμα ὃ περιεβάλλοντό τινες στρατοπέδῳ ἐπὶ σωτηρίᾳ. Μένανδρος Ἀσπίδι

πολλοὶ γὰρ ἐκλελοιπότες
τὸν χάρακα τὰς κώμας ἐπόρθουν.

Χαλκεῖα: Ὑπερείδης ἐν τῷ κατὰ Δημέου ξενίας. τὰ Χαλκεῖα ἑορτὴ παρ' Ἀθηναίοις τῇ Ἀθηνᾷ ἀγομένη Πυανεψιῶνος ἕνῃ καὶ νέᾳ, χειρώναξι κοινή, μάλιστα δὲ χαλκεῦσιν, ὥς φησιν Ἀπολλώνιος ὁ

1. Φυλὴ τῆς Οἰνηΐδος] φυλῆς τῆς ὑινίδος φυλῆς E. φυλῆς τῆς οἰνηΐδος D. τῆς οἰνηΐδος φυλῆς Suidæ codex A. φυλῆς τῆς οἰνηΐδος φυλῆς Suidæ codex Leidensis. 2. Μένανδρος—φρούριον] ὁ δὲ Μένανδρος τὸν (τὸν om. Suidas) τόπον νομίζει εἶναι Φυλήν. ὁ δὲ Φιλόχορος φρούριον 8. ΧΑ'ΡΑΚΑ—τὸ om. Quæ pro his verbis habet Suidas, χάρακα χαράκωμα, περίφραγμα, aliunde sumta. στρατοπέδῳ] ἐν στρατοπέδῳ 9. σωτηρίᾳ, ὡς Δημοσθένης. καὶ Μένανδρος, πολλοὶ γὰρ ἐκλελοιπότες (ἐκλελειπότες D.)—ἐπόρθουν :— 12. Ὑπερείδης—Χαλκεῖα om. 13. παρ' Ἀθηναίοις om.

1. Ἰσοκράτης] p. 181 c.

— δῆμος] φυλὴ δῆμος A.B. Ald. Quo indicio φυλῆς vulgo post δῆμός ἐστι lectum mutavi in Φυλή, ut scriptum apud Suidam.

3. νομίζετ' schol. Aristoph. Ach. 1022. Libri νομίζεται.

— εἶναι τὸν τ.] τὸν τ. εἶναι B. C. G.

4. τὸ] τὸν A.B. Ald.

— Νυμφαῖον] νυμφιαῖον A. et Ald. qui verba Μένανδρος—Φυλασίων sic interpolavit adhibita glossa Suidæ, qui sua debet Epitomæ, Μένανδρος δὲ Δυσκόλῳ, τῆς Ἀττικῆς νομίζει εἶναι τόπον τὴν Φυλήν, λέγων, τὸν νυμφιαῖον δ' ὅθεν προέρχομαι Φυλασίας.

5. Φυλασίων] φυλάξων C.

6. ζ'] ζη C. ἑβδόμῳ Ald.

8. ΧΑ'ΡΑΚΑ] χαράκωμα A. Ald.

— Δημοσθένης] p. 254, 27. ubi vulgo χαράκωμα.

— ὃ] ᾧ C.G.

— περιεβάλλοντο Ald. περιεβάλοντο A. περιέβαλλον C. περιέβαλον B.G.

9. στρατοπέδῳ] στρατόπεδον B. C. G.

12. τὰ om. C.

13. τῇ Ἀθηνᾷ addidit Meursius Lect. Att, 4, 24. Hoc enim excidisse ostendunt quæ ex Phanodemo affert Harpocratio.

— ἕνῃ] ἐν ᾗ A. ἐν ᾧ B.C.

Ἀχαρνεύς. Φανόδημος δὲ οὐκ Ἀθηνᾷ φησιν ἄγεσθαι τὴν ἑορτὴν ἀλλ' Ἡφαίστῳ. γέγραπται δὲ καὶ Μενάνδρῳ δρᾶμα Χαλκεῖα.

Χαρικλῆς: εἷς τῶν λ'· Λυσίας.

Χερνίβων: Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος "καὶ χερνίβων "καὶ κανῶν ἀψόμενον." εἴη δ' ἂν ἀπ' ὀρθῆς τῆς χέρνιψ γενικὴ πληθυντικὴ χερνίβων· τῆς γὰρ χέρνιβος μέμνηνται καὶ οἱ κωμικοὶ ὡς παραλαμβανομένης εἰς τὰς θυσίας. ὁ γοῦν Ἀριστοφάνης ἐν Ὄρνισί φησι

παῖ παῖ, τὸ κανοῦν αἴρεσθε καὶ τὴν χέρνιβα.

Χίλιοι διακόσιοι: Ἰσαῖος ἐν τῷ πρὸς Ἰσχόμαχόν φησιν "οὐ"δεὶς Λυσίδης ἐστὶ τῶν διακοσίων καὶ χιλίων." οἱ πλουσιώτατοι Ἀθηναίων χίλιοι καὶ διακόσιοι ἦσαν, οἳ καὶ ἐλειτούργουν. μνημονεύουσι δ' αὐτῶν καὶ ἄλλοι ῥήτορες καὶ Φιλόχορος ἐν τῇ ϛ'. Λυσίας δ' ἐν τῷ πρὸς Κλεινίαν καὶ Ἰσαῖος ἐν τῇ ὑπὲρ Νικίου συνηγορίᾳ τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσαντο χιλίους εἰπόντες.

Χιλιωθέντα: Λυκοῦργος ἐν τῷ κατ' Ἀριστογείτονος ἀντὶ τοῦ χιλίας ὀφλόντα. ὁ δ' αὐτὸς ῥήτωρ καὶ ἐν τῷ κατὰ Κηφισοδότου φησὶ κεχιλιῶσθαι.

1. ὁ Ἀχαρνεύς om. Φανόδημος δέ φησιν οὐκ Ἀθηνᾷ ἄγεσθαι Suidas. 2. Ἡφαίστῳ:— 3. Λυσίας om. 4. Δημοσθένης φησί, καὶ 5. ἀψόμενον] ἀψάμενον D. γενικὴ—χερνίβων om. 6. γὰρ] δὲ Suidas. οἱ] καὶ οἱ 7. τὰς om. D. θυσίας (οὐσίας Suidæ codex A.):— 10. Ἰσαῖός φησιν 11. διακοσίων καὶ χιλίων] χιλίων διακοσίων D. 13. καὶ (οἱ addit D.) ἄλλοι] καὶ ἕτεροι Suidas. ῥήτορες:— 16. Λυκοῦργος—ὀφλόντα] χιλίας ὄφλοντα, ὡς Λυκοῦργος 17. ὁ δ' αὐτὸς καὶ κεχιλιῶσαι ἔφη:—

3. Hanc gl. om. C.

— Λυσίας] Adde Xenoph. Hellen. 2, 3, 2.

4. Δημοσθένης (διογένης B.)] p. 618, 7.

5. δ' ἂν Epitome. κἂν B.C. ἂν A. Ald.

6. καὶ addidi ex Epitome.

7. Ὄρνισι] v. 850.

9. αἴρεσθε] ἔρεσθε A.

10. Ἰσχόμαχον] ἰσχίμαχον A.Ald.

12. οἳ] ἢ A.

— καὶ om. C.

13. ἄλλοι] οἱ ἄλλοι C.

— τῇ om. B.

— Λυσίας] Temporum rationem obstare quominus Lysiam de mille ducentis civibus Nausimici commemoravisse statuamus Boeckhius Œcon. vol. 2. p. 64. (vol. 1. p. 684. ed. sec.) docuit. Recte igitur C. F. Hermann. de equit. Att. p. 38. suspicatur Lysiam de equitibus Atheniensium locutum esse, Harpocrationem vero cives tributarios et equites ob numerorum similes rationes confudisse. SAUPP. Fragm. p. 193. Contra Boeckhium disputavit Bakius schol. Hypomn. vol. 4. p. 156.

14. δ' om. C.

15. ἐχρήσαντο] ἐχρήσατο C.

17. χιλίας ὀφλόντα] Libri χίλια σοφὰ ὄντα. Correctum e Lex. rhet.

Χίλων: ὄνομα κύριον· Αἰσχίνης.

Χλῆδος: Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα περὶ χωρίου βλάβης "ἔπειτα δὲ τὸν χλῆδον ἐκβαλὼν εἰς τὴν ὁδὸν, ἐξ ὧν ὑψηλοτέραν "καὶ στενωτέραν τὴν αὐτὴν ὁδὸν πεποιῆσθαι συμβέβηκεν." πᾶν πλῆθος χλῆδος λέγεται, καὶ ἐστὶν οἷον σωρός τις, μάλιστα δὲ τὸ τῶν ἀποκαθαρμάτων τε καὶ ἀποψημάτων, καὶ ἡ τῶν ποταμῶν πρόσχωσις, καὶ πολὺ μᾶλλον τῶν χειμάρρων, ὃ καὶ χέραδος καλεῖται. νῦν δὲ ἔοικεν ὁ ῥήτωρ λέγειν ὅτι χοῦν καὶ φρυγανώδη τινὰ ἐκ τοῦ χωρίου σωρὸν ὁ Καλλικλῆς εἰς τὴν ὁδὸν ἐμβέβληκεν, ὡς καὶ αὐτὸς ἐν τοῖς ἑξῆς ὑποσημαίνει. κέχρηνται δὲ τῷ ὀνόματι πολλοί. Αἰσχύλος Ἀργείοις

καὶ παλτὰ κἀγκυλητὰ καὶ χλῆδον βαλών.

Χόες: Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος. ἑορτή τις ἦν παρ' Ἀθηναίοις ἀγομένη Ἀνθεστηριῶνος δωδεκάτῃ. φησὶ δὲ Ἀπολλόδωρος Ἀνθεστήρια μὲν καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν Διονύσῳ ἀγομένην, κατὰ μέρος δὲ Πιθοίγια, Χόας, Χύτρους.

1. Αἰσχίνης om. Totam gl. om. Suidas. 2. ΧΛΗ͂ΔΟΣ] χλίδος Suidas. 3. τὸν χλῆδον] τὴν χλῆδον D. τὸ χλίδος Suidas. 4. στενωτέραν] στενοτέραν Suidas. ὁδὸν π.] π. ὁδὸν Suidæ codex A. 5. χλῆδος] χλίδος Suidas. οἷον] ὡς D. 6. πρόσχωσις] πρόχωσις 8. χοῦν κ. φ. τινα] χοῦν τινὰ κ. φ. D. 9. εἰς τὴν ὁδὸν om. 10. ὑποσημαίνει:— 13. Δ.— ὀνόματος om. 15. μὲν om. Διονύσῳ] τὴν Διονύσῳ libri nonnulli Suidæ. 16. Πιθοίγια] Πιθοιγίαν Suidas. Χόας] Χοάς vel Χοᾶς apud Suidam. Χύτρους] λύτρους D.

Bekk. p. 315, 30. ut fecerat Valesius, nisi quod is ὄφλοντα scripserat falso accentu.

P. 305, 18. κεχιλιῶσθαι Salmasius. κεχιλιῶσαι libri, in quo κεχιλίωσαι agnoscere sibi videbatur Bekkerus.

P. 306, 1. Hanc gl. om. C.

— Αἰσχίνης (p. 38, 23.) om. B.

2. Δημοσθένης (διογένης B. C.)] p. 1278, 4. 1279, 12.

4. συμβέβηκεν om. B.

5. σωρός τις] τις σωρὸς B.C.

— τὸ additum ex Epitome.

6. πρόσχωσις] πρόχωσις B.

8. νῦν δὲ ἔοικεν] ἔοικε δὲ νῦν C.

10. δὲ om. B.C.

— Αἰσχύλος] Fragm. 14.

11. Ἀργείοις Maussacus. ἀργείαις A.B. ἀργίαις C., qui Æschyli verba om., et Ald.

12. καὶ παλτὰ κἀγκυλητὰ] καὶ πολτα κὰν κύλητον A. Ald. ποτὰ κὰν κύληγαν B. Correxit Blancardus, qui falso accentu κἀγκύλητα scripsit, quod etiam in Lex. Seg. Bekk. p. 337, 32. corrigendum, λέγεται καὶ ἡ δεξιὰ χεὶρ ἀγκύλη, ὅθεν καὶ τὰ δόρατα ἀγκύλητά τε καὶ μεσάγκυλα ἐκάλουν.

13. Δημοσθένης (διογένης A.B.C.)] p. 999.

— τοῦ om. N.

— ἦν addidi ex Epitome.

15. Ἀνθεστήρια ex Epitome pro Ἀνθεστηρίαν.

— κοινῶς om. C.

16. Πιθοίγια] πιθοιγίαν A. Ald. πυθοίγια B.C.

— Χόας] χοὰς B.C. χοᾶς Ald.

— Χύτρους] λύτρους A. χύτρας B.C.

Χολαργεὺς: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου. Χολαργία δῆμος τῆς Ἀκαμαντίδος.

Χολλείδαι: Λυσίας. δῆμος τῆς Λεοντίδος.

Χρῆσται: δύο σημαίνει τοὔνομα τἀναντία· καὶ γὰρ τοὺς δανειστὰς, ὡς παρ' Ἰσαίῳ ἐν τῷ πρὸς Καλυδῶνα καὶ παρ' Ἀριστοφάνει ἐν Νεφέλαις· φησὶ γὰρ

ὑπὸ γὰρ τόκων χρήστων τε δυσκολωτάτων
ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.

ἐπὶ δὲ τοῦ δανειζομένου κέχρηνται τῷ ὀνόματι ἄλλοι τε καὶ Δημοσθένης ἐν τῇ ὑπὲρ Φορμίωνος παραγραφῇ. καὶ ἐν τῇ πρὸς Ζηνόθεμιν παραγραφῇ φησιν "οἱ δὲ δανεισταὶ τὸ ἐξ ἀρχῆς ἠπατημένοι, ὁρῶντες "ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἄλλο δ' "οὐδέν."

Χρυσίς: ἡ φιάλη· Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος, Ἀριστοφάνης Εἰρήνῃ.

Χρυσοχοεῖν: Δείναρχος ἐν τῷ κατὰ Πυθέου "πάλιν γὰρ Αἰ-

1. Ἰσαῖος—Χολαργία om. Totam gl. om. Suidas, alia substituta. 3. Λυσίας om. 5. παρ' Ἰσαίῳ. Ἀριστοφάνης, ὑπὸ γὰρ 7. χρήστων τε] τε καὶ χρήστων D. 8. ἐνεχειράζομαι D. 9. δανειζομένου Δημοσθένης φησὶν, οἱ δὲ 14. ΧΡΥΣΙ'Σ. ἡ φιάλη, ὡς Δημοσθένης:— Glossam om. Suidas, alia substituta. 16. ΧΡΥΣΟΧΟΕΙ'ΟΝ. Δείναρχος φησὶ, πάλιν παρ' Αἰσχίνην

1. Ἰσαῖος] p. 69, 27.
— τοῦ om. B.
— Κίρωνος Blancardus. Libri κήρωνος.
— κλήρου] δῆμος τῆς Ἀττικῆς addidit Ald. ex Suida.
— Χολαργία] Vitiosa nominis forma. Pagus aut Χολαργὸς aut nomine demotico Χολαργεῖς appellatus fuit: v. Steph. Byz. ubi accentum qui est in libris Χόλαργος correxit Meinekius. Hoc igitur Harpocrationi quoque restituendum cum Valesio (qui Χόλαργος scripsit), nisi quis Χολαργεῖς præferat.
3. ΧΟΛΛΕΙ'ΔΑΙ Epitome. χολεῖδαι A. Ald. Totam gl. om. B.C.
4. ΧΡΗ'ΣΤΑΙ] χρῆσθαι A.
5. ὡς om. B.C.
6. Νεφέλαις] v. 240.
6. γὰρ post ὑπὸ addidi ex Epitome.
8. ἄγομαι, φέρομαι om. B.C. Ald.
— ἐνεχυράζομαι] ἐνεχειράζομαι A. ἐνεχυρίζομαι C.
9. Δημοσθένης (διογένης B.C.)] p. 946, 8.
10. πρὸς Ζηνόθεμιν] p. 884, 2.
12. ἑαυτοῖς ex Epitome pro ἑαυτούς.
— τῶν χρημάτων] τῶν οὐ ῥημάτων A.B. τοῦ οὐ ῥημάτων C.
— δ' om. A.
14. Δημοσθένης (διογένης B.C.)] p. 617, 20.
15. Εἰρήνῃ (εἰρήνης B.C.)] v. 425.
16. ΧΡΥΣΟΧΟΕΙ'Ν C. Ceteri χρυσοχοεῖον.
— Δείναρχος] Ad eundem locum videtur pertinuisse glossa Lex. rhet. Bekk. p. 316, 3. χρυσο-

“σχίνου ἀποφοιτήσας παρὰ τούτῳ δῆλον ὅτι χρυσοχοεῖν ἐμάνθανεν, ἀλλ' οὐ τὸ προκείμενον αὐτῷ πράττειν ἢ πάσχειν.” κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Πλάτων ἐν ε' Πολιτείας λέγων “τί δέ; ἦ δ' ὃς ὁ Θρασύμαχος, χρυσοχοήσοντας οἴει τούσδε νῦν ἐνθάδε ἀφῖχθαι, ἀλλ' οὐ λόγων ἀκουσομένους;” ἄρξασθαι δέ φασι τὴν παροιμίαν ἐντεῦθεν. ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τὸ Ἀθηναίων ὡς ἐν Ὑμηττῷ χρυσοῦ ψῆγμα πολὺ φανείη καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δ' ἀναλαβόντες ὅπλα ἐξέθεον ἐπ' αὐτούς. ἄπρακτοι δ' ὑποστρέψαντες καὶ μάτην κεκακοπαθηκότες ἔσκωπτον ἀλλήλους, λέγοντες “σὺ δὲ ᾤου χρυσοχοήσειν,” ὅπερ δηλοῖ, σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας καὶ χρυσοχοήσας πλουτήσειν. ἐχλευάζοντο δὲ καὶ ὑπὸ τῶν κωμικῶν· Εὔβουλος γοῦν ἐν Γλαύκῳ φησὶν

3. ἐν—λέγων om. τί δέ] τί δαί Suidas. 4. χρυσοχοεῖ. ἄρξασθαι δέ 6. φήμη π.] π. φήμη Suidæ libri quidam. τὸ Ἀ.] τῶν Ἀ. 7. χρυσοῦ ψ.] ψ. χρυσοῦ Suidas. 8. μαχίμων] χίμων D. sine nota defectus. ὅπλα] τὰ ὅπλα Suidæ codex A. 12. καὶ om. Suidas. ἐν Γλαύκῳ om.

χοεῖν ἐμάνθανε: τί ἐστι; παροιμία ἐν ἤθει λεγομένη ἀντὶ τοῦ ἐπόρνευσε. quanquam hæc explicatio sententiæ, quam proverbio illo expressam esse reliqua testimonia ostendunt, non convenit. SAUPP. Fragm. p. 328.

P. 307, 16. γὰρ Αἰσχίνου Valck. apud Pierson. ad Moer. p. 400. παρ' αἰσχίνου B.C.G. παρ' αἰσχίνην A. et Epitome. παρ' αἰσχίνῃ Ald. Quod qui scripsit non Dinarchi hæc duo verba esse putavit, sed Harpocrationis Æschinem citantis.

P. 308, 1. τούτῳ] τοῦτο B.C.

2. οὐ] οὐ δὲ B.

— αὐτῷ ex Epitome pro αὐτό.

— ἢ πάσχειν delet Salmasius.

3. δὲ post κέχρηται addidi ex Epitome.

— ε'] εν C. πέμπτῳ Ald.

— Πολιτείας] p. 450 b.

— τί δέ om. B.C.

4. ἦ δ' ὃς ὁ Maussacus ex Platone. ἣν ὁ (δ' ὁ C.) σὸς libri.

— χρυσοχοήσοντας ex Platone. χρυσοχόης A.B. Ald. χρυσοχόος.

4. οἴει ex Platone. εἰ A. εἰς B. C. Ald.

5. ἀκουσομένους] ἀκουσόμενος C.

6. ἔπεσέ τις φήμη] Historiam attigit Schneiderus in loco simillimo Theophrasti de lapid. c. 59. Cf. Demetrius Phal. ap. Athen. 6. p. 233 e. BERNHARD. ad Suidam vol. 2. p. 1689.

— τὸ Ἀθηναίων] τῶν ἀθηναίων A. C. Ald.

7. φανείη ante χρυσοῦ habet C.

8. ἀναλαβόντες C. et Epitome. ἀναλαμβάνοντες A. Ald. ἀναβαίνοντες B.

— ὅπλα additum ex C. et Epitome.

— αὐτούς] αὐτὸ C. αὐτὴν B.

9. ὑποστρέψαντες] ὑποστρέφοντες C.

10. ὅπερ δηλοῖ—πλουτήσειν addidit Maussacus ex Suida, qui Epitomæ debet.

11. ἐχλευάζοντο—κωμικῶν om. C.

12. καὶ additum ex Epitomes codice D.

— γοῦν] οὖν B.C.

ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν
λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα
καὶ σιτί' ἐπὶ μύρμηκας ἡμερῶν τριῶν,
ὡς χρυσοτεύκτου ψήγματος πεφηνότος.

Χύτροι: Λυσίας ἐν τῷ κατ' Αἰσχίνου περὶ τῆς δημεύσεως τῶν Ἀριστοφάνους χρημάτων "ἐπειδὴ τοίνυν τοὺς Χύτρους ὁ Δημάρατος "ἑάλω προδιδούς." πόλις ἐστὶν ἐν Κύπρῳ οὕτω καλουμένη, καθά φησι Ξεναγόρας ἐν ταῖς Νήσοις. ἔστι δὲ καὶ Ἀττική τις ἑορτὴ Χύτροι, ἧς μνημονεύει Δείναρχος ἐν τῷ κατὰ Πυθέου. ἤγετο δὲ ἡ ἑορτὴ Ἀνθεστηριῶνος τρίτῃ ἐπὶ δέκα, ὥς φησι Φιλόχορος ἐν τῷ περὶ ἑορτῶν.

Ψ.

Ψευδεγγραφή: ὄνομα δίκης ἐστὶν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ ὡς καταψευσαμένου αὐτῶν τοῦ ἐγγράψαντος ἐν τῇ σανίδι τῇ παρὰ τῇ θεῷ κειμένῃ, ὡς ἀδίκως ἐγγραφέντες ὀφείλειν τῷ δημοσίῳ. Λυκοῦργος ἐν τῷ κατ' Ἀριστογείτονος καὶ Ἰσαῖος ἐν τῷ πρὸς Μέδοντα μνημονεύουσι τοῦ ὀνόματος.

Ψευδοκλητεία: ὄνομα δίκης ἐστίν, ἣν εἰσίασιν οἱ ἐγγεγραμμέ-

3. καὶ σιτί'—πεφηνότος om. 5. Λυσίας—προδιδούς om. 7. καθά—Νήσοις om. 9. ἧς—Πυθέου om. 10. δέκα (δεκάτῃ D.), ὡς Φιλόχορος :— 14. αὐτῶν] αὐτὸν Suidæ codices duo. 15. τῇ θεῷ] τῷ θεῷ D. 16. δημοσίῳ :— 18. ΨΕΥΔΟΚΛΗΣΙΆ ἐγγεγραμμένοι] γεγραμμένοι

1. ἄνδρας] Vocativum ἄνδρες restitui voluit Meinek. Com. vol. 3. p. 215. Quo non opus videtur.

2. λαβόντας] λαβόντες A. Ald.

3. σιτί' Erasmus. Libri σὺ, nisi quod συὸς est in I. σιτί' ἡμερῶν τριῶν dixit Aristoph. Pac. 843.

— μύρμηκας] Simile de Indorum expeditione contra formicas auri custodes fabulatur Herodotus 3, 102. et Dio Chrys. vol. 2. p. 73. Reisk. MEINEK. l. c.

5. ΧΎΤΡΟΙ] χύτρῃ A. hic et infra.

8. Ξεναγόρας] Hunc citat etiam Steph. Byz. s. v. Χύτροι, ubi nomen urbi impositum esse tradit ἀπὸ Χύτρου τοῦ Ἀλεξάνδρου τοῦ Ἀκάμαντος.

9. Χύτροι—ἑορτὴ om. B. C. librario a priori ἑορτὴ ad alterum aberrante.

— ἡ om. A.

11. ἑορτῶν] τῶν ἑορτῶν C.

13. ΨΕΥΔΕΓΓΡΑΦΗ'] ψευδογραφὴ B. C. "De re accurate exposuit "Boeckh. de re navali Ath. p. 536. "seqq. In Lycurgi oratione per"tinebat ejus judicii commemora"tio ad causam Aristonis: cf. "Demosth. c. Aristog. p. 791. Li"banii Summar. p. 768." SAUPP. Fragm. p. 260.

15. τῇ σανίδι om. Ald.

— τῇ θεῷ A. Ald. τῇ θεᾷ B. C. N.

17. τοῦ ὀνόματος] τοὔνομα A.

18. ΨΕΥΔΟΚΛΗΤΕΙ'Α Sauppius Fragm. p. 240. ψευδοκλητία N. ψευδοκλητσία A. ψευδοκλησία Ald. et Epitome. ψευδόκλησις B. C. Dixit de hac actione Boeckh. Œc. vol. 1. p. 512.

— ἐγγεγραμμένοι] γεγραμμένοι C.

νοι ὀφείλειν τῷ δημοσίῳ, ἐπειδὰν αἰτιῶνταί τινας ψευδῶς κατεσκευάσθαι κλητῆρας καθ' ἑαυτῶν πρὸς τὴν δίκην ἀφ' ἧς ὦφλον. ἔστι δὲ παρά τε ἄλλοις ῥήτορσι καὶ Ἰσαίῳ ἐν τῷ πρὸς Νικοκλέα περὶ χωρίου.

Ψιθυριστὴς Ἑρμῆς: *Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας. ἦν τις Ἀθήνησιν Ἑρμῆς οὕτω καλούμενος. ἐτιμᾶτο δ' Ἀθήνησι καὶ ψίθυρος Ἀφροδίτη καὶ Ἔρως ψίθυρος.*

2. πρὸς] ὡς Suidas. ὦφλον, ὡς Ἰσαῖός φησιν:— 5. ἙΡΜΗ͂Σ] ὁ ἑρμῆς D. Δημοσθένης—Νεαίρας om. 7. Ἔρως (Ἑρμῆς apud Suidam) ψίθυρος] ἐρ . . . ψιθυρος E.

1. τινας] τινες B.C.
— ψευδῶς Ald. ψεῦδος A.B.C.
2. ὦφλον] ὤφειλον C.
4. χωρίου] θρίου Ald.
5. Δημοσθένης] p. 1358, 6.
— ἐν τῷ om. C.

LECTIONES

EDITIONIS ALDINAE*.

9, 10. Μιλησίῳ om.
— Στράττιδι] στραγίδι
10, 2. ἀδηφάγους] ἀδδηφάγους duplici δ hic et infra.
10, 13. δοκιμασθῆναι] δοκιμασθῆναι λέγεται (Hoc in nullo exstat codice: sed in A.B.F.H. lacuna est, et fortasse in Aldi quoque codice fuit, quod correctorem videtur movisse ut λέγεται illud adderet.)
12, 1. μνῶν κ., τὸ δὲ σῶμα πεπηρωμένοι] μηνῶν κ. τὸ σῶμα πεπηρωμένων
12, 3. Ἀθηναίων om.
15, 7. Ἀθμονεύς. Ἀθμονία] ἀθμωνεύς. ἀθμωνία
16, 6. Αἰγιλία] καὶ αἰγιλία
16, 8. Δημοσθένους] διογένους (quod frequens etiam in codicibus quibusdam, velut B., vitium est.)
16, 10. Ξενοπείθην] ξενοπείθη
17, 9. Αἰνίους] αἰνείους
21, 3. ϛʹ] τρίτῳ
21, 4. κῆρυξ] κήρυξ hic et alibi.
21, 11. οὗτος] οὕτως (ut B.C.H.)
22, 7. Ἁλιμούσιοι] ἁλιμάσιοι
Ἁλιμοῦς] ἁλιμοὺς, ut p. 37, 12. ἀνθεμούς.
24, 11. Φαληρέων] φαλληρέων
25, 2. ἐν] ἐν τῇ (cum C.)
25, 8. Ἀμαζόνων ἀφιερώσεως] ἀμαζόνος (hoc cum C.F.) ἀφιαιρέσεως
25, 9. διείλεκται] διήλεκται
25, 11. Ἱπποθωντίδος] ἱπποθοοντίδος hic et alibi sæpe, ubi alii Ἱπποθοωντίδος.
28, 3. Περραιβοὶ] πέρρεβοι
31, 4. Ἱππάρχῳ] ὑπάρχῳ
31, 11. Ἀνακαίασιν] ἀνακαιᾶσι
32, 5. Ἀνάκρισις] Hanc gl. habet supra post p. 30, 12.
36, 11. τελετῆς] τελευτῆς (cum A.B. F.N.)
37, 1. ἀνεχαίτισε] ἀνεχαίτησε
39, 12. δίκαις ταῖς om.
40, 7. πάντα] πάντας
40, 17. Ῥαμνούσιος] ἀμνούσιος
41, 3. Φιλιππικῷ] φιλιππικῶν
41, 7. ἀπολογήσεσθαι] ἀπολογίσασθαι
48, 14. Ἀπόλλωνα] ἀπόλλω
50, 6. ἔστιν εὑρεῖν] εὑρεῖν ἔστιν
50, 12. ἐπιγράφωνται] ἐπιγράφονται
51, 1. δίκας τάς] δικαστάς
51, 3. πρὸς σταθμὸν] προσταθμὸν
53, 12. τῶν] τὸν
57, 1. πολεμήσοντας] πολεμήσαντας
59, 10. Μαυσώλου] μαυσωλοῦ: sed l. 12. μαυσώλου
65, 1. φόρου—ποιά] φόνου (sic etiam A.)—ποῖά
66, 2. κδʹ] εἰκοσιτεσσάρων
67, 4. παιδερασταὶ] παιδεράσται, ut παιδεράστας p. 7, 4.
67, 11. ἂν τοὺς] αὐτοὺς
72, 8. πραθέντος] προθέντος
72, 9. 11. ἀρραβῶνος—ἀρραβῶνα] ἀραβῶνος—ἀραβῶνα (sic etiam A.B. aliique.)

* Vitia hæc editionis Aldinæ a. 1513, in annotationibus meis consulto omissa, hoc loco commemorare placuit, quod multa in iis sunt, de quibus Maussacus et Valesius in annotationibus suis dixerunt.

75, 10. Βούτεια] βουτεία
76, 16. εὔκολοι] εὔκηλοι (sic etiam A.)
78, 2. γειτόνους καλεῖται καὶ γειτνόδισμα om.
79, 2. ὁμογάλακτας] ὁμογαλάκτας
79, 4. ἱερωμέναι] ἱερομέναι
81, 5. φυλάττει] φυλάττειν
87, 4. Δημοσθένους] δημοσθένης (sic etiam A.B.)
87, 10. δεκετίδες] δεκατίδες
88, 6. τὸ om. (cum A.)
90, 3. τῶν om.
90, 12. τὸ διαγορεύειν τῷ] τῷ διαγορεύειν τὸ
91, 16. καταβαλόντος] καταβαλλόντος (hoc accentu)
92, 13. ἐστιν ὕδατος] ὕδατός ἐστι
92, 14. πρὸς] ὡς
94, 12. ὥσπερ ταῖς] ὥσπερ καὶ ταῖς
95, 2. ἀπροστασίου] ἀποστασίου
95, 11. ἕτεροι] ἑταῖροι
95, 13. ἐπιτρεψάντων] ἐπιστρεψάντων
98, 4. μὲν om.
99, 3. τῷ] τῇ
100, 4. πρεσβείας] παραπρεσβείας
100, 8. κϛ′] εἰκοστῇ πέμπτῃ
104, 3. δουλεύωσιν] δουλεύουσιν
108, 12. ἐσχάτων] αἰσχάτων
109, 3. αὐτοῦ] αὑτοῦ
109, 6. ὑπὲρ] ἐν τῷ ὑπὲρ
109, 8. Πανδοσία καὶ Βούχετα καὶ Ἐλάτεια] πανδοσίαν καὶ βούκεταν καὶ ἐλάτειαν
110, 5. ἐστὶ σκεῦος ξύλινον] ἐστὶν ξύλινον
111, 17. καὶ ἡ σηπεδὼν] καὶ ἡ γῆ σηπέδων
112, 18. τῆς—ἀγομένης] τοῖς—ἀγομένοις
115, 1. πρεσβείας] παραπρεσβείας
115, 13. οἶ] οἱ
117, 16. καταδικασθέντων] δικασθέντων
118, 15. μὲν om.
118, 17. δὲ om.
123, 16. ἐπιδιετὲς] ἐπὶ διετὲς (sed l. 9. ἐπιδιετές)
129, 8. ὑπηκόους] ἐπηκόους
129, 16. ἐν Ἀ.] ἐν τῇ Ἀ.
130, 12. χωρίον] χωρίων
130, 15. ταὐτῷ] ταυτῷ τῷ
132, 2. δεδανεισμένον] δεδανισμένον
133, 12. τοῖς—ἀποδιδοὺς] τοὺς—ἀποδοὺς
133, 16. πρὸς] παρὰ
140, 7. ἦσαν ἄνδρες] ἄνδρες ἦσαν
140, 15. Ἐρινύας] ἐριννύας
156, 2. θήσσας] θήσας
157, 2. τοῦ om.
157, 9. μετετέθησαν] μετέθησαν
158, 14. Φιλιππικῶν] φιλιππῶν (sic)
160, 8. Αἰγηΐδος] αἰγιΐδος
161, 6. πρῶτον] πρώτου
161, 17. Μνασέας] μνασαίας
174, 3. ἐν γ′] ἐν τῇ τρίτῃ
κεραμικῆς τέχνης] κεραμεικῆς (omisso τέχνης)
174, 5. Νικοκλέα] νικοκλέους
176, 5. παιδερασταί] παιδεράσται
178, 5. Κιρραῖον] κιραῖον
182, 15. ἐστι] εἰσι
182, 16. ἡ τῆς] ἡ om.
193, 5. Φανόδημος ἐν θ′] φανόδημος ἐννάτῳ
193, 8. τῶν] τῷ
195, 15. ἐν τῷ] ἐν τῇ
196, 5. Λυκιουργεῖς] λυκουργεῖς
198, 7. διοικισμός] διῳκισμός
περὶ τῆς εἰρήνης om.
208, 7. Μύριοι] μυρίοι
210, 10. εὐμορφοτέραν] εὐμορφωτέραν
214, 17. ϛ′] ἕκτῳ
215, 14. αὐτὸ] αὐτῷ
219, 5. μνημονεύοι] μνημονεύει
222, 2. Κλείταρχος] κλήταρχος
222, 12. ὠνομάσθαι] ὀνομάσθαι
222, 20. ὀμόσε] ὀμόσαι
225, 12. Ἀληθείας] ἐν ἀληθείας
231, 3. Παιωνιδῶν] παιονίδων
231, 5. ὀχετοῦ] ὀχέτου
235, 10. λέγε] λέξε
236, 12. τριήρων] τριηρῶν
236, 16. τῆς πόλεως] τοῖς πόλεως
239, 3. παρά τε τοῖς] παρὰ τοῖς
239, 15. ὃ] ᾧ
239, 16. ἡ om.
245, 4. πεντηκοστεύεσθαι] πεντηκοντεύεσθαι
246, 13. τεταγμένως] τεταγμένα
250, 5. τὰ κατὰ] τὰ om.
250, 8. πλειστηριάσαντες] πληστηριάσαντες
251, 15. παρεμβεβλημένου] παρεμβεβλημένον

254, 1. Πορθμός] πορθμεύς
254, 10. Ἑρμᾶς περικόψαι] ἑρμὰς περικόψας
255, 13. ἕν τε] καὶ ἐν
255, 15. πυλάγορος] φυλάγορος (sic etiam B. φιλάγορος C.)
256, 6. πρεσβείας] παραπρεσβείας
260, 16. προσεποιήσατο] προποιήσατο
261, 9. Περινθίας] περινθείας
262, 2. Πειραιᾶ] πειρεᾶ
266, 2. δι'] δεῖ
266, 6. Κλείδημος] κλείδιμος (sic D.)
267, 12 et 17. Πωληταὶ] πωλῆται ter.
267, 15. Ἀρισταγόρας] ἀρισταγόρου
269, 3. Λοιδορία] λοιδωρία
269, 14. ὡς om.
272, 18. Ἰλίου] ἡλίου
272, 19. Ἀλευαδῶν] ἀλευάδων
275, 14. Πυθόδωρον] πυθόδωρος
277, 10. ὑποδησάμενος] ὑποδησάμενοι
281, 8. καταπηγνύειν] καταπηγνεύειν
283, 1. λέγων] λέγω
288, 4. ἄρχοντα] ἄρχοντας
289, 6. λίμνης] ἐλίμνης
290, 12. ἱστᾶσιν] εἱστᾶσιν
291, 6. Τορώνη] τορώνην
294, 14. Τριτόμηνις] τριτομινὶς
296, 4. ἑλοῦσι] αἱλοῦσι
296, 13. Εὐφορίων] ἐφορίων
297, 18. Ἀρισταγόρας] ἀρισταγόρου
302, 8. Κουρήτων] κουρητῶν
304, 12. Δημέου] δημίου
306, 8. φρυγανώδη] φρυγανώδη
307, 7. χρήστων om.
307, 11. δανεισταὶ] δανισταὶ
309, 9. Πυθέου] πιθέου

INDEX SCRIPTORUM.

INDEX GRÆCUS.

INDEX GRAMMATICUS.[a]

[a] Indici præcedenti, in quem vocabula rettulimus ab Harpocratione explicata, alterum hunc adjunximus vocum vel locutionum, quas ex ipsius Harpocrationis sermone annotare operæ pretium videbatur. Est enim ad multas quæstiones utile etiam grammaticorum loquendi consuetudinem cognovisse: quod non fugerat Sylburgium, quum Indices in Etymologicum Magnum Apolloniique Syntaxin componeret. Cujus exemplum quum perpauci aliorum grammaticorum editores secuti sint, non mirandum est valde imperfecta esse nullaque ex parte satisfacere quæ Lexicorum Græcorum conditores usque ad novissima hæc tempora de grammaticorum sermone tradiderunt.

ADDENDA

AD INDICEM SCRIPTORUM.

P. 314. Αἰσχίνης ὁ Σωκρατικός 62, 10.
p. 316. Ἀριστοφάνης Ἀχαρνεῦσιν 62, 7.
—— —— Δαιταλεῦσιν 155, 20.
Δείναρχος 95, 5.
p. 317. Δείναρχος κατὰ Πυθέου ξενίας 61, 7.
Δημοσθένης κατ' Ἀνδροτίωνος 117, 9.
———— κατ' Ἀριστοκράτους 87, 16.
p. 318. ———— ὑπὲρ Κτησιφῶντος 33, 14. et 295, 11.] Corrige 33, 18. et 259, 11. et adde infra 273, 5.
———— ἐν τῷ παραπρεσβείας 21, 1, 235, 16.
p. 319. ———— κατὰ Τιμοκράτους 301, 5.
Δίδυμος 123, 9.
p. 320. οἱ τὰ περὶ ἑορτῶν γράψαντες 43, 2.
οἱ τὰ Εὐβοϊκὰ γράψαντες 287, 2.
Ζώπυρος ἐν τοῖς περὶ ποταμῶν 136, 1.
Ἡρόδοτος β' 194, 19.
———— γ' 81, 2.
Ἡσίοδος 155, 3.
Θεόπομπος Φιλιππικῶν γ' 84, 17.
p. 321. Ἰσαῖος 69, 3. in Epitome 299, 15.
p. 324. Λυσίας κατὰ Λυσιθέου] Lege Λυσίας * κατὰ Λυσιθέου cum asterisco, quo orationes notamus quarum de scriptoribus dubitatum fuit.
p. 325. Μαίσων 135, 7.
p. 326. Ὅμηρος 150, 17.

In Indice Græco p. 329. col. 2. deleatur "Ἀθήνησι, ἐν Ἀθήνησι ad 87, 12." et p. 333. col. 2. post βομβυλιός inseratur βόρειον τεῖχος 92, 9.